A. 1. So steht der Da. auch bei Redensarten, z. B. εἰς λόγους ἔρχεσθαι zur Unterredung mit Jemand kommen, εἰς χεῖρας ἰέναι in Jemandes Hände oder mit Jemand ins Handgemenge kommen. So nach der Analogie sinnverwandter Verba, wie συνέρχεσθαι. Vgl. Dial. Sy. A. 2. (Außer dieser Verbindung bezeichnet der persönliche Da. bei einfachen Verben des Gehens und Kommens ein Interesse: für Jemand; das Hin wird bei ihnen durch εἰς, πρός, παρά oder ἐπί mit dem Ac. ausgedrückt.) Τῷ Ἀλκιβιάδῃ τινὲς ἐς λόγους ἦλθον. Θ. 8, 48, 1. Οὐδενί πω κρείττονι ἑαυτοῦ εἰς χεῖρας ἐλθεῖν ἔφη. Ξε. ἀν. 1, 2, 26. Οἱ πολλὰ ἔχοντες εἰς χεῖρας οὐκ ἐθέλουσι τοῖς κρείττοσιν ἰέναι. Ξε. Κυ. 8, 8, 6. Διανοούμεθα διὰ πολέμου αὐτοῖς ἰέναι. Ξε. ἀν. 3, 2, 8. Ὁ κακὸς οὔτε κακῷ οὔτε ἀγαθῷ οὐδέποτε εἰς ἀληθῆ φιλίαν ἔρχεται. Πλ. Λύ. 214. (Ἦλθον αὐτοῖς βόες. Ξε. ἀν. 4, 8, 25. vgl. Th. 3, 5, 3. 6, 34, 2 u. Reg. u. ἔρχεσθαι; über παρέρχεσθαι τοῖς Ἀ. zu 6, 15, 3.)

A. 2. Bei manchen der hieher gehörigen Verben, besonders denen des Streitens, findet sich häufig auch πρός mit dem Ac., bei ἀγωνίζεσθαι fast regelmäßig. Vgl. 7 A. 13. Οὐκ ἔχω ὅπως χρὴ πρὸς ἃ λέγεις ἐναντιοῦσθαι. Πλ. Κράτ. 390. Ψυχὴ πρὸς σῶμα διαφέρεται. Πλ. Φιλ. 47. Νομίζω, ὅστις ἐν πολέμῳ ὢν στασιάζει πρὸς ἄρχοντα, τοῦτον πρὸς τὴν ἑαυτοῦ σωτηρίαν στασιάζειν. Ξε. ἀν. 5, 9, 29. Οὐ προςήκει ἀνδρὶ τυράννῳ πρὸς ἰδιώτας ἀγωνίζεσθαι. Ξε. Ἱέρ. 11, 6. Βιάζῃ καὶ πρὸς ἡνίας μάχῃ. Αἰσ. Προ. 1010. Ἐπολέμησάν ποτε Ἐλευσίνιοι μετ' Εὐμόλπου πρὸς Ἐρεχθέα. Θ. 2, 15, 2.

(A. 3. Vereinzelt findet sich auch ἐπί τινα z. B. bei πολεμεῖν; πολεμεῖν τινα Jemand bekriegen erst bei Spätern häufiger. [Dorville z. Char. p. 576.] Κλέαρχος ἐπὶ τοὺς Θρᾷκας ἐπολέμησεν. Ξε. ἀν. 1, 3, 4. Τοιούτων συμβούλων ὤφελον τυχεῖν οἱ πολεμήσαντες τὴν πόλιν. Δείν. 1, 36.

A. 4. Πλησιάζειν hat auch in der Bedeutung sich nähern, wie das fast

poet. πελάζειν, den Da.; sehr selten bei Attikern den Ge. (den Da. und Ge. hat auch ἐγγίζειν, z. B. bei Polyb.). Ἐν οἷς ἂν ἀτυχήσῃ τις ἄνθρωπος τόποις, ἥκιστα τούτοις πλησιάζων ἥδεται. Ἄμφις 4. Ἐπλησίαζον τῶν ἄκρων. Ξε. Κυ. 3, 2, 8.

A. 5. Zu den Verben des Umgehens gehört auch χρῆσθαι. (Vgl. Xen. Symp. 2, 10.) Ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις. Ἰσ. 1, 20. Οἱ ἄριστα διδάσκοντες μάλιστα λόγῳ χρῶνται. Ξε. ἀπ. 3, 3, 11.

10. In gleicher Weise findet sich der Da. bei Verben die eine Aehnlichkeit, Gleichheit oder Uebereinstimmung bezeichnen. *Τὸ ὁμοιοῦν ἑαυτὸν ἄλλῳ μιμεῖσθαί ἐστιν ἐκεῖνον ᾧ ἂν ὁμοιοῖ. Πλ. πολ.* 393. *Ὡς οὐδέν ἐσμεν πλὴν σκιαῖς ἐοικότες. Σο. ἀποσ.* 682. *Εἴπερ τοῖς βελτίστοις εἰκάζω αὐτόν, ἐπαινοῦντι δικαίως ἂν εἰκάζοι μέ τις. Ξε. συ.* 6, 9. *Ὁ σίδηρος ἂν ἰσοῖ τοὺς ἀσθενεῖς τοῖς ἰσχυροῖς ἐν τῷ πολέμῳ. Ξε. Κυ.* 7, 5, 65. *Τί ταῦτα ἐκείνοις ὁμολογεῖ; Ἀνδ.* 3, 12. *Ζήτει νόμους δικαίους καὶ συμφέροντας καὶ σφίσιν αὐτοῖς ὁμολογουμένους. Ἰσ.* 2, 17. *Αἱ παραυτίκα ἡδοναὶ συμπείθουσι πολλοὺς τῇ πονηρίᾳ ὁμογνωμονεῖν. Ξε. Κυ.* 2, 2, 24. *Ἡ ψυχὴ ἐκ τοῦ ὁμοδοξεῖν τῷ σώματι καὶ τοῖς αὐτοῖς χαίρειν ἀναγκάζεται. Πλ. Φαίδ.* 83. *Οἱ Ἀθηναῖοι διὰ τὸ ἀλλήλοις ὁμονοεῖν τὴν ἀρχὴν τῶν Ἑλλήνων κατειργάσαντο. Ἀνδ.* 1, 108.

IV. Der Dativ bei Compositen.

11. Den Da. haben auch viele Verba die mit den Da. regierenden Präpositionen zusammengesetzt sind, insbesondere mit *ἐν*, *σύν*, *ἐπί*, seltener mit *πρός*, *παρά*, *περί* und *ὑπό*, bald wegen der Präposition allein, bald wegen der Bedeutung des Compositums.

A. 1. Sehr häufig erscheint der Da. bei Compositen mit ἐν, sowohl wenn sie eine Ruhe als wenn sie eine Bewegung bezeichnen. Οὐκ ἀζήμιον γνώμην ἐνεῖναι τοῖς σοφοῖς λίαν σοφήν. Εὐ. Ἠλ. 295. Πάντ' ἐμπέφυκε τῷ μακρῷ γήρᾳ κακά. Σο. Σκιρ. 500. Ἀπηνθηκότι σώματι οὐκ ἐνίζει Ἔρως. Πλ. συ. 196. Ἐλευθέροισιν ἐμπεπαίδευμαι τρόποις. Εὐ. Ἰνώ 3, 5. Σωκράτης προείλετο μᾶλλον τοῖς νόμοις ἐμμένων ἀποθανεῖν ἢ παρανομῶν ζῆν. Ξε. ἀπ. 4, 4, 4. [z. Th. 4, 118, 9.] — Ἐν τῷ γιγνώσκεσθαι καὶ τὸ αἰσχύνεσθαι πᾶσι δοκεῖ μᾶλλον ἐγγίγνεσθαι. Ξε. Κυ. 2, 1, 25. Κεραυνὸς οἷς ἂν ἐντύχῃ πάντων κρατεῖ. Ξε. ἀπ. 4, 3, 14. Νῦν ἄρτι μοι τὸ γῆρας ἐντίθησι νοῦν. Φερεκράτης 149. Ὁ θεὸς τὴν ψυχὴν κρατίστην τῷ ἀνθρώπῳ ἐνέφυσεν. Ξε. ἀπ. 1, 4, 13. Λυκοῦργος τὸ πείθεσθαι τοῖς νόμοις μάλιστα ἐνειργάσατο τῇ Σπάρτῃ. Ξε. ἀπ. 4, 4, 15. Αἱ ἡδοναὶ ψυχῇ ἐπιστήμην ἀξιόλογον οὐδεμίαν ἐμποιοῦσιν. Ξε. ἀπ. 2, 1, 20. Εἴς γε τὸ προθυμίαν ἐμβαλεῖν στρατιώταις οὐδέν μοι δοκεῖ ἱκανώτερον εἶναι ἢ τὸ δύνασθαι ἐλπίδας ἀγαθὰς ἐμποιεῖν ἀνθρώποις. Ξε. Κυ. 1, 6, 19. Οἱ ἐνέδραις ἐμπίπτοντες ἐκπλήττονται. Ξε. ἱπρ. 8, 20. — Οἱ Ἀθηναῖοι τῇ γνώμῃ ἄποροι καθεστῶτος ἐνέκειντο τῷ Περικλεῖ. Θ. 2, 59, 2. Ἡνίκα ἂν ἡμεῖς ἐγχειρῶμεν τοῖς πολεμίοις, αἰσθήσεσθε. Ξε. Κυ. 7, 1, 9. Δεῖ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν ἅπασιν ἀεὶ τοῖς καλοῖς. Δη. 18, 97. [Ἐνεδρεύειν τινά Dem. 40, 45.]

A. 2. Wenn ἐν wiederholt wird, ist die Verbindung weniger innerlich. [Vgl. Mnemosyne 4 p. 6.] Βίου ἔνεστιν ἀσφάλει' ἐν ταῖς τέχναις. Μέ. 69. Πολλὰ ἀγαθὰ ἔνι ἐν τῷ πειθαρχεῖν. Ξε. ἱπρ. 1, 24. Ἐπειδὰν λάβωσι τὰς δυναστείας, ἐν πολλοῖς ἐμπεπλεγμένοι κακοῖς εἰσιν. Ἰσ. 8, 111. — Οἱ Ἀθηναῖοι προεῖπον μήτε ἐναποθνήσκειν ἐν Δήλῳ μήτε ἐντίκτειν. Θ. 3, 104, 1.

A. 3. Ἐμβάλλειν transitiv hat bei nicht innerlicher Verbindung εἰς; so auch meistens in den intransitiven Bedeutungen (wie bei εἰςβάλλειν). Wenn es angreifen heißt erfordert es den Da., z. B. τοῖς πολεμίοις. Ἡ ἀκρασία εἰς ἀφροσύνην αὐτοὺς ἐμβάλλει. Ξε. ἀπ. 4, 5, 6. vgl. 52, 2, 7.

A. 4. Bei Compositen mit εἰς ist der Da. nicht häufig, da in Verbindung mit ihm meist ἐν- eintritt, wie ἐμβάλλειν für εἰςβάλλειν, ἐμπίπτειν für εἰςπίπτειν ꝛc. Bei εἰςιέναι, (εἰςέρχεσθαι) findet sich neben dem (seltneren) Da. auch der Ac., beide aber (persönlich) in der att. Prosa nur wenn von Gedanken und Gefühlen die Rede ist. Sonst wird, wie auch bei andern Compositen mit εἰς, im allgemeinen die Präposition wiederholt. Παρόντα με ἀνδρὸς ἐπιτηδείου ἔλεος εἰςῄει. Πλ. Φαίδ. 58, e. Οὐδὲν πάνυ μοι ἐλεεινὸν εἰςῄει. Πλ. Φαίδ. 59, a. Vgl. Dem. 19, 33 u. Dial. Sy. A. 3.

A. 5. Zahlreich sind die Composita mit ἐπί welche, häufiger ihrer Bedeutung als der Präposition halber, den Da. haben. Αἴσχει οὐκ ἔπεστιν Ἔρως. Πλ. συ. 197. Πολλῶν ὄντων καὶ καλῶν ἐν τῷ τῶν ἀνθρώπων βίῳ τοῖς πλείστοις αὐτῶν οἷον κῆρες ἐπιπεφύκασιν. Πλ. νό. 937, e. — Τὰ Κύθηρα ἐπίκειται τῇ Λακωνικῇ. Θ. 4, 53, 2. Τῷ ἄρξαντι πανταχοῦ μεγάλα ἐπιτίμια ἐπίκειται. Ἀντ. 4, δ, 7. Ἤδη κολοφῶνα ἐπιτίθης τῇ σοφίᾳ. Πλ. Εὐθύδ. 301, e. Ὅτε εὖ ἔπραττον, ἐπέκειντο ἡμῖν. Ξε. Ἑλ. 6, 5, 35. Πολλάκις ἐπέθεντο τοῖς Λακεδαιμονίοις οἱ Εἵλωτες· ὥσπερ γὰρ ἐφεδρεύοντες τοῖς ἀτυχήμασι διατελοῦσιν. Ἀρλ. πολ. 2, 6, 2. Τί ὄφελος διδασκάλους τοῖς παισὶν ἐφιστάναι; Αἰ. 1, 187. Δεῖ τοὺς ἐπιμελεῖς ἐπιστατῆσαι τοῖς παιδευομένοις. Ἰσ. 15, 188. Οὐ δίκαιον ὅπλα ἐπιφέρειν ἀλλήλοις ἡμᾶς. Ξε. Ἑλ. 6, 3, 6. Οἱ κρίνειν οὐκ ἐπιστάμενοι ἃ δεῖ πράττειν πολλάκις πονηροῖς ἐπιχειροῦσι πράγμασιν. Ξε. ἀπ. 4, 1, 4. Τοῖς ἀμαθαίνουσι τῶν πολιτῶν οὐδὲν ἐπιτρεπτέον ἀρχῆς ἐχόμενον. Πλ. νό. 689. — Ἤδη μοι ἐπιβουλεύουσι τὴν μεγίστην ἐπιβουλήν. Δη. 53, 16. Οἱ βάρβαροι τῇ τῶν Ἑλλήνων ἐπεβούλευον φθορᾷ. Πλ. Μενέξ. 242, a. — Νὺξ ἐπεγένετο τῷ ἔργῳ. Θ. 4, 25, 1. Οὐκέτι αὐτοῖς ἐπῄεσαν ἐς μάχην. Θ. 4, 44, 3. Ἤδη ποτέ σοι ἐπῆλθεν ἐνθυμηθῆναι ὡς ἐπιμελῶς οἱ θεοὶ ὧν οἱ ἄνθρωποι δέονται κατεσκευάκασιν; Ξε. ἀπ. 4, 3, 3. Ἐπέπεσε πολλὰ καὶ χαλεπὰ κατὰ στάσιν ταῖς πόλεσιν. Θ. 3, 82, 2. — Ὀρθῶς μοι ἐπέπληξας. Πλ. πολ. 529. Οἱ ἐχθροὶ ἐφήδονταί μοι. Ξε. Κυ. 6, 1, 37. Ταῖς ἀτυχίαισι μὴ ἐπίχαιρε τῶν πέλας. Μέ. 646. Ἀτυχοῦντι μὴ ἐπιγέλα· κοινὴ γὰρ ἡ τύχη. Χείλων Στ. 112, 11. Ἐπισκοτεῖ τῇ κρίσει τὸ ἴδιον ἡδὺ ἢ λυπηρόν. Ἀρλ. ῥητ. 1, 1. — Ἀρὰς ποιοῦνται, εἴ τις ἐπικηρυκεύεται Πέρσαις τῶν πολιτῶν. Ἰσ. 4, 157.

A. 6. Ἐπιστρατεύειν verband man regelmäßig mit dem Da., seltener mit ἐπί und dem Ac., mehr poetisch mit dem bloßen Ac. Ἡμάρτανον οἱ ἡμῖν ἐπιστρατεύσαντες. Θ. 3, 54, 1. Οἱ Ἀμφικτύονες ἐψηφίσαντο ἐπιστρατεύειν ἐπὶ τοὺς Ἀμφισσέας. Αἰ. 3, 128. [Εἰώθασι τὸν ἡσυχάζοντα ἀδεέστερον ἐπιστρατεύειν. Θ. 4, 92, 5. zu 4, 60, 2.]

A. 7. Von Compositen mit πρός haben den Da. mehrere die eine Verbindung oder Annäherung bezeichnen. Τῇ βίᾳ πρόςεισιν ἔχθραι καὶ κίνδυνοι. Ξε. ἀπ. 1, 2, 10. Ὅταν γινώμεθ', εὐθὺς χῇ [καὶ ἡ] τύχη προςγίνεθ' ἡμῖν συγγενὴς τῷ σώματι. Φιλή. 10. Χαρμίδης ὤκνει προςιέναι τῷ δήμῳ. Ξε. ἀπ. 3, 7, 1. [z. Th. 8, 91, 2.] Διψῶντι πάντα προςφέρων σοφὰ οὐκ ἂν πλέον τέρψειας ἢ πιεῖν διδούς. Σο. ἀποσ. 702. Οἵτινες τοῖς κρείσσοσι καλῶς προςφέρονται πλεῖστ' ἂν ὀρθοῖντο. Θ. 5, 111, 1. (Φίλοι γε προςφέρεσθε πρὸς φίλον. Εὐ. Κυ. 176.) Τῷ κατὰ γῆν στρατῷ προςέβαλλον τῷ τειχίσματι. Θ. 4, 11, 1. Προςέχωμεν τὸν νοῦν ἡμῖν αὐτοῖς. Πλ. σοφ. 262. Σωκράτης ἐτεκμαίρετο τὰς ἀγαθὰς φύσεις ἐκ τοῦ ταχὺ μανθάνειν οἷς προςέχοιεν. Ξε. ἀπ. 4, 1, 2. Βραχεῖ λόγῳ πολλὰ πρόςκειται σοφά. Σο. Ἀλήτ. 89. (Γλώσσῃ ματαίᾳ ζημία προςτρίβεται. Αἰσ. Προ. 329.)

A. 8. Προςπαίζειν gestattet die Person im Da. (mit Jemand scherzen)

wie im Ac. (bescherzen); προςκυνεῖν hat bei guten Schriftstellern nur den Ac. (Προςμαθέζεσθαι πόλιν Thuk. 1, 26, 3 und einiges Aehnliche ist theils vereinzelt theils dichterisch) Οὐ χρὴ προςπαίζειν οἰκέταις. Πλ. νό. 777, e. Σωκράτης ἀεὶ προςέπαιζε τοὺς ῥήτορας. Πλ. Μενέξ. 235. Οὐδένα ἄνθρωπον δεσπότην, ἀλλὰ τοὺς θεοὺς προσκυνεῖτε. Ξε. ἀν. 3, 2, 13.

A. 9. Nicht eben häufig ist der Da. bei Compositen mit παρά, in der Regel ein persönliches Object. Ἀδελφὸς ἀνδρὶ παρείη. Πλ. πολ. 362. Θεὸς δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται. Σο. ἀποσ. 288. Χρήματα καὶ φαύλοις παραγίγνεται. Ἰσ. 2, 32. Εἰς καλὸν ἡμῖν ὅδε παρεκαθέζετο. Πλ. Μενέξ. 89, a.

A. 10. Auch bei den gleichfalls nicht sehr zahlreichen Compositen mit περί die den Da. haben ist das Object gewöhnlich ein persönliches. Περίεστί μοι ἐσθίοντι ἄχρι τοῦ μὴ πεινῆν ἀφικέσθαι. Ξε. συ. 4, 37. Ἐκ τῶν μεγίστων κινδύνων καὶ πόλει καὶ ἰδιώτῃ μέγισται τιμαὶ περιγίγνονται. Θ. 1, 144, 4. Περιέστηκε τῇ πόλει τοὐναντίον ἢ ὡς εἰκὸς ἦν. Λυ. 12, 64. [z. Th. 1, 76, 3; über den Ac. zu 3, 54, 3.] Χαλεπὸν καὶ ἀναμαρτήτως τι ποιήσαντας μὴ ἀγνώμονι κριτῇ περιτυχεῖν. Ξε. 2, 8, 5. [Heindorf zu Plat. Soph. 65.] Οἱ μὴ εἰδότες ἑαυτοὺς τῶν τε ἀγαθῶν ἀποτυγχάνουσι καὶ τοῖς κακοῖς περιπίπτουσιν. Ξε. ἀπ. 4, 2, 27. Τούτους περὶ πλείστου ποιοῦνται οἵτινες δύνανται τιμὰς περιάπτειν αὐτοῖς. Ξε. Κυ. 7, 5, 60.

A. 11. Von Compositen mit ὑπό haben nur wenige den Da. Τοῖς ζῶσι πᾶσιν ὕπεστί τις ἢ πλείων ἢ ἐλάττων φθόνος. Δη. 18, 315. Ὑπόκειται τὸ Κιῤῥαῖον πεδίον τῷ ἱερῷ. Αἰ. 3, 118. Ὅστις ὑπέχει χρυσίῳ τὴν χεῖρα, κἂν μὴ φῇ, πονηρὰ βούλεται. Μέ. 301.

A. 12. Ueben den Ac. bei Compositen mit παρά, περί, ὑπό § 46, 6, 8.

A. 13. Einige Composita mit ἀντί haben ihrer Bedeutung wegen den Da. Ἔρωτι οὐδὲ Ἄρης ἀνθίσταται. Πλ. συ. 196. (Πρὸς τὴν ἀνάγκην οὐδ' Ἄρης ἀνθίσταται. Σο. ἀποσ. 234.) Τοῖσιν δικαίοις ἀντέχειν οὐ ῥᾴδιον. Σο. ἀποσ. 99. Τούτοις οὐκ ἔχω ἀντιλέγειν. Ξε. οἰκ. 2, 9.

A. 14. Am häufigsten findet sich der Da. bei Compositen mit σύν, theils wegen der Präposition, theils wegen der Bedeutung des Verbums. Μισῶ τύχην συνοῦσαν ἀτυχεῖ σώματι. Ἀπολλόδ. Κ. 15. Φαύλη φαύλῳ συγγιγνομένη φαῦλα γεννᾷ ἡ μιμητική. Πλ. πολ. 603. Φιλεῖ γε τῷ κάμνοντι συσπεύδειν θεός. Αἰσ. ἀποσ. 277. Φίλος φίλῳ δὴ συμπονῶν αὐτῷ πονεῖ. Μέ. μο. 741. Οἱ θεοὶ ἡμῖν συνεργοῦσιν. Ξε. ἀπ. 4, 3, 12. Οἱ πρωτεύειν βουλόμενοι οὐ συμπράττουσί τι ἀλλήλοις ἀγαθόν. Ξε. Κυ. 8, 2, 28. Πολλοὶ ἀτυχοῦσι μὲν τοῖς φίλοις συνάχθονται, καλῶς δὲ πράττουσι φθονοῦσιν. Ἰσ. 1, 26. Τί προςήκει τοῖς κακοῖς συναπόλλυσθαι; Πλ. Λύ. 221. Ἡ προβατευτικὴ τέχνη συνῆπται τῇ γεωργίᾳ. Ξε. οἰκ. 5, 3. — Ξυνέβη μοι φεύγειν τὴν ἐμαυτοῦ ἔτη εἴκοσιν. Θ. 5, 26, 5. Τἄλλα ξυμβεβήκασι Λακεδαιμονίοις. Θ. 8, 98. Ὡς τοῖσιν εὖ φρονοῦσι συμμαχεῖ τύχη. Εὐ. Πειρ. 6. Οὐ τοῖς ἀθύμοις ἡ τύχη ξυλλαμβάνει. Σο. ἀποσ. 666. Τὰ ἔργα οὐ ξυμφωνεῖ ἡμῖν τοῖς λόγοις. Πλ. Λάχ. 193, e. Μετασχόντες τῶν τότε κινδύνων ὑμῖν ξυνώμοσαν. Θ. 2, 72, 1. — Τὸ τῶν παρθένων γένος θεῶν γένει τις συμβάλλει. Πλ. Ἱπ. μείζων 289, a. Τοῖς ἄλλοις ξυμβαλόντες ἐκράτησαν. Θ. 1, 105, 5. Ἔνθα τὸ πρῶτον τοῖς πολεμίοις συνέμιξαν ἐστήσαντο τρόπαιον. Ξε. Ἑλ. 4, 2, 23. Οὔ σοι συμβουλεύω ἐν τοῖς καλοῖς ἐὰν τὴν ὄψιν ἐνδιατρίβειν. Ξε. Κυ. 5, 4, 16. Τὸ τοῖς ἀνθρώποις συγγιγνώσκειν ἐπιεικές. Ἀρλ. ῥητ. 1, 13.

A. 15. Auch bei den mit ἐπί, πρός, παρά, ὑπό, σύν zusammengesetzten Verben findet sich vielfach, z. Th. neben dem Da., entweder dieselbe oder eine andere finngemäße Präposition mit dem erforderlichen Casus. Die bezüglichen Unterschiede ergeben sich aus dem Begriffe der Präpositionen. S. über diese unten § 68; über πρός auch § 48, 7, 13. Auf σύν ist auch 11 A. 2 anzuwenden.

V. Der Dativ bei Substantiven, Adjectiven und Adverbien.

12. Häufiger als in andern Sprachen findet sich im Griechischen der Da. auch bei Substantiven. [Reg. z. Th. u. Dativ.]

(A. 1. Der besitzliche Da. erscheint zuweilen auch in Verbindung mit Substantiven wo andere Sprache den Ge. setzen. Τοῦ ξένου ἡμῖν ἡδέως ἂν πυνθανοίμην τί ταῦθ' ἡγοῦντο. Πλ. σοφ. 216, e. Εὕρηνται ἡμῖν πρὸς τὰς τῶν ἐπωτίδων αὐτοῖς παχύτητας χειρῶν σιδηρῶν ἐπιβολαί. Θ. 7, 62, 3. Εἰς στενὸν κομιδῇ τὰ τῆς τροφῆς τοῖς ξένοις αὐτῷ καταστήσεται. Δη. 1, 22. Οἱ ἄνθρωποι ἓν τῶν κτημάτων τοῖς θεοῖς εἰσιν. Πλ. Φαίδ. 62. Vgl. Schömann z. Isai. p. 264.)

(A. 2. Auf diese in der att. Prosa nicht eben häufige Weise, durch die oft ein zweiter Ge. vermieden wurde, sind meist auch solche Stellen zu erklären an denen man ein Hyperbaton annehmend den Da. zum Verbum ziehen könnte. (Wo aber weder die Stellung noch der Sinn den Da. mit dem Substantiv zu verbinden drängen, ist er zum Verbum zu ziehen.) Οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων χιτῶνας λινοῦς ἐφόρουν. Θ. 1, 6, 2. Ὁ ἡγεμὼν αὐτοῖς τῶν ὁδῶν ἐτύγχανε τεθνηκώς. Θ. 3, 98, 2. Ἀπόβλεπε πρὸς τὴν νέαν ἡμῖν πόλιν. Πλ. πολ. 431. Vgl. z. Th. 1, 6, 2.)

(A. 3. Das enklitische μοί wie ἡμῖν ist an einigen Stellen, obgleich eingeschoben, doch wohl (in dem Sinne von R. 5. 6) mit dem Verbum zu verbinden. Ἡ γάρ μοι μήτηρ ἄλλῃ βέβηκεν. Ἀρ. ἐκ. 913. Ἡ μέν μοι ἀρχὴ τοῦ λόγου ἐστὶ κατὰ τὴν Εὐριπίδου Μελανίππην. Πλ. συ. 177, a. Οὗτός μοι μῦθος ἐνταῦθα τελευτάτω. Πλ. νό. 812, a. Ἡ θήλεια ἡμῖν φύσις ἐστὶ πρὸς ἀρετὴν χείρων τῆς τῶν ἀρρένων. Πλ. νό. 78. Vgl. Dial. Sy. A. 2.)

A. 4. Am häufigsten findet sich der R. 7 erwähnte objective Da. bei sachlichen verbalen Substantiven. Τί δή ποτ' ἂν εἴη τὰ παρ' ἡμῶν δῶρα τοῖς θεοῖς; Πλ. Εὐθύφ. 15. Ὑπώπτευεν ἀλλήλους κατὰ τὴν τῶν χωρίων ἀλλήλοις οὐκ ἀπόδοσιν. Θ. 5, 35, 1. Ἐγὼ οἴομαι οὐδέν πω ὑμῖν μεῖζον ἀγαθὸν γενέσθαι ἐν τῇ πόλει ἢ τὴν ἐμὴν τῷ θεῷ ὑπηρεσίαν. Πλ. ἀπ. 30, a. Αὕτη τις βοήθεια ἑαυτῷ πολλάκις ἡμῖν ὡμολόγηται κρατίστη εἶναι. Πλ. Γο. 522. Καλλωπίζεσθαι χρὴ τῷ καλῶς δουλεῦσαι τοῖς νόμοις, ὡς ταύτην τοῖς θεοῖς οὖσαν δουλείαν. Πλ. νό. 762. Πέφυκεν ἡ πόλεων ἐπιμιξία πόλεσιν ἤθη κεραννύναι παντοδαπά. Πλ. νό. 949. Χρώμεθα τοῖς πλοίοις πρὸς τὰς τοῖς λῃσταῖς ἐντεύξεις. Πλ. πολ. 298. Διὰ τοῦ δαιμονίου πᾶσά ἐστιν ἡ ὁμιλία καὶ ἡ διάλεκτος θεοῖς πρὸς ἀνθρώπους. Πλ. συ. 203. Μουσικὴ ἔχει τὴν ὁμοιότητα τῷ τοῦ καλοῦ μιμήματι. Πλ. νό. 668, a. Στάσιν τινὰ δεῖ τὴν ἀδικίαν εἶναι καὶ ἐπανάστασιν μέρους τινὸς τῷ ὅλῳ τῆς ψυχῆς. Πλ. πολ. 444. [Vgl. Reg. z. Th. u. Dativ 1. Heindorf z. Plat. Gorg. 146 u. Phaid. 85.]

(A. 5. Seltener findet sich der Da. bei persönlichen verbalen Substantiven. Τοὺς ἄρχοντας λεγομένους νῦν ὑπηρέτας τοῖς νόμοις ἐκάλεσα. Πλ. 715. Ὁ τοῖς νόμοις βοηθὸς παρανομώτατος ἀνθρώπων γέγονεν. Λυ. ἀποσ. 31. Τῶν συνηγόρων αὐτῷ τολμήσει τις εἰπεῖν. Λυκ. 63. Εἶδόν τινα τῶν ξυνωμοτῶν σφίσι διαλεγόμενον οἰκείως τῷ Ἱππίᾳ. Θ. 6, 57, 2. Vgl. Schäfer z. Dem. 1 p. 875 s.)

A. 6. Bei Substantiven der Art A. 4 findet sich zuweilen, bei denen A. 5 häufig der Ge. vgl. § 47, 7, 5. Πρὸς τὴν τῆς Χίου βοήθειαν ὥρμηντο. Θ. 8, 60, 2. Καταφεύγει πρὸς θεῶν εὐχάς τε καὶ λατρείας. Πλ. Φαῖδρ. 244. — Αἰτεῖ τὸν δῆμον φύλακάς τινας τοῦ σώματος, ἵνα σῶς αὐτοῖς ᾖ ὁ τοῦ δήμου βοηθός. Πλ. πολ. 566. Ἔρως ἐστὶν ἐπίκουρος τῶν ἀνθρώπων. Πλ. συ. 189. [Vgl. Engelhardt zu Plat. Apol. p. 166 nach Heindorf.]

13. Die Adjective und die von ihnen abgeleiteten Adverbia

welche den objectiven Da. annehmen entsprechen meist den 7—10 angeführten Verben.

A. 1. So steht der Da. bei Adjectiven und Adverbien die nützlich oder schädlich, tauglich, dienlich, bedeuten; ferner bei πιστός, ἄπιστος (πίσυνος Thuk. [zu 2, 89, 4] wie bei dem der att. Prosa fast fremden πεποιθέναι), συγγνώμων. Τῷ ὄντι θεοῖσι μὲν ἄχρηστον ψεῦδος, ἀνθρώποις δὲ χρήσιμον ὡς ἐν φαρμάκου εἴδει. Πλ. πολ. 389, a. Ἔοικας τὰ ἑκάστῳ ὠφέλιμα κτήματα καλεῖν. Ξε. οἰκ. 1, 7. Ἡ ἐδεσμάτων ἐπιθυμία βλαβερὰ μὲν σώματι, βλαβερὰ δὲ ψυχῇ πρός τε φρόνησιν καὶ τὸ σωφρονεῖν. Πλ. πολ. 559. Οἱ Πέρσαι φοβοῦνται πανταχοῦ λέγειν τὰ μὴ σύμφορα βασιλεῖ. Ξε. Κυ. 8, 2, 12. Μή μ' ἐκδίδασκε τοῖς φίλοις εἶναι κακήν. Σο. Ἠλ. 395. Ἐνίοις μὲν πάνυ ὀλίγα ἔχουσιν ἀρκεῖ, ἐνίοις δὲ πάνυ πολλὰ οὐχ ἱκανά ἐστιν. Ξε. ἀπ. 4, 2, 38. Οἱ εἰδότες ἑαυτοὺς τὰ ἐπιτήδεια ἑαυτοῖς ἴσασιν. Ξε. ἀπ. 4, 2, 26. Οὐ πᾶσιν οἱ αὐτοὶ πιστοὶ φαίνονται. Ξε. Κυ. 8, 7, 13. Τὸν ἐπίορκον ἄπιστον πᾶσιν ἐποίησεν. Ξε. Ἀγ. 1, 12. (Τῇ δυνάμει τὸ πλέον πίσυνοι ἢ τῇ γνώμῃ ἐπέρχονται. Θ. 2, 89, 4. Πλούτῳ πεποιθὼς ἄδικα μὴ πειρῶ ποιεῖν. Μέ. 702.) Συγγνώμονες ἀεί εἰσι θεοὶ τοῖς τῶν ἀνθρώπων ἀδίκοις καὶ ἀδικοῦσιν. Πλ. νό. 906.

A. 2. So ferner bei Adjectiven und Adverbien die eine freundliche oder feindselige Gesinnung oder Berührung bezeichnen. Οἱ ὅμοιοι τοῖς ὁμοίοις εὖνοί εἰσιν. Ξε. Ἀθ. πολ. 3, 10. Οὐδεὶς θεὸς δύσνους ἀνθρώποις. Πλ. Θε. 151. Λύσανδρος κακονούστατος ἦν τῇ πόλει Λυ. 12, 59. Πολλοὶ τῶν ξυμμάχων τοῖς πολεμίοις εὐμενέστεροι ἦσαν ἢ τῇ Λακεδαίμονι. Ξε. Ἑλ. 5, 2, 1. Οὐδὲν τυράννου δυςμενέστερον πόλει. Εὐ. Ἱκ. 429. Ὁ ἀγαθὸς τῷ ἀγαθῷ μόνος μόνῳ φίλος. Πλ. Λυ. 214. Εἰρήνη μούσαισι προςφιλεστάτη. Εὐ. Ἱκ. 489. Οἱ πονηροὶ πάντως ἔμοιγε δοκοῦσιν ἀλλήλοις ἐχθροὶ μᾶλλον ἢ φίλοι πεφυκέναι. Ξε. ἀπ. 2, 6, 19. Τὸ ἔλαιον τοῖς φυτοῖς ἅπασίν ἐστι πάγκακον καὶ ταῖς θριξὶ πολεμιώτατον, πλὴν ταῖς τοῦ ἀνθρώπου. Πλ. Πρω. 334. Τοῖς τυράννοις ἀεί ποτε διάφοροί ἐσμεν. Θ. 6, 89, 3. Πρὸς τὸ ἀλλήλοις πρᾳοτέρους εἶναι ἀγαθὸν ἡγεῖτο τοὺς πόνους εἶναι. Ξε. Κυ. 2, 1, 29. Οἱ νόμοι πολὺ χαλεπώτεροί εἰσι τοῖς ἑκοῦσι κακὰ ἐργαζομένοις καὶ ψευδομένοις ἢ τοῖς ἄκουσιν. [Πλ. Ἱπ. μι. 372.] Ὅστις ἐπὶ τὸ πλέον ἔχειν πέφυκ' ἀνήρ, φίλοις τ' ἄμικτός ἐστι καὶ πάσῃ πόλει. Εὐ. Ἰξ. 4. Αὐτοί ἐστε μάλιστα ἐμποδὼν τῇ αὐτονομίᾳ. Ξε. Ἑλ. 6, 3, 7.

A. 3. Bei φίλος, ἐχθρός, πολέμιος findet sich auch der Ge., meist jedoch nur wenn sie substantivirt sind. Vgl. § 47, 10. u. Eu. Tro. 284, Th. 3, 84, 2 u. zu Xen. An. 3, 2, 5. Τὸ φιλοῦν ἂν εἴη φίλον τοῦ φιλουμένου· τὸ μισοῦν ἄρα πάλιν ἐχθρὸν τοῦ μισουμένου. Πλ. Λύ. 213. Παρὰ ἀνδρὶ αὐτοῦ φίλου εἱστιᾶτο. Ἀντ. 1, 26. (Οὐκ ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς θείμην ἐμαυτῷ. Σο. Ἀντ. 187. Bei And. 1, 96 heißt πολέμιος ἔστω τῶν Ἀ. er gelte für einen Feind der A.)

A. 4. Ἐναντίος hat den Da., wenn es entgegenstehend oder feindselig; den Ge., wenn es nur den Bezug auf das Object, im uneig. Sinne widersprechend, völlig verschieden (wie διάφορος A. 2 u. § 46, 26, 5) bedeutet. [Ueber οἱ ἐναντίοι z. T. 5, 67, 3.] Ἐναντίον vor hat nur den Ge. Μῶρον τὸ τὰ τυφλὰ τοῦ σώματος καὶ ἄοπλα ἐναντία τάττειν τοῖς πολεμίοις φεύγοντας. Ξε. Κυ. 3, 3, 45. Ἐναντίως ἔχει τῷ σώφρονι ὁ ἀκόλαστος. Πλ. Γο. 507. Τύραννος ἅπας ἐχθρὸς ἐλευθερίᾳ καὶ νόμοις ἐναντίος. Δη. 6, 25. Τὸ ὅσιον τοῦ ἀνοσίου παντὸς ἐναντίον. Πλ. Εὐθύφ. 5. Πολλῶν ἐναντίον λέγει. Πλ. Παρ. 136.

A. 5. Eben so haben ἴδιος und κοινός, οἰκεῖος und ἀλλότριος, συγγενής und ἀδελφός nebst ihren Adverbien den Da., wenn das Zugehören oder die Uebereinstimmung; den Ge., wenn das Eigenthum oder eine Berührung der Eigenthümlichkeiten berücksichtigt wird. Bei ἀδελφός ist daher der Ge.

vorherrschend; den Ge. hat auch ἱερός. Παρέδειξεν αὐτῷ τοὺς φόρους οἳ αὐτῷ ἴδιοι ἦσαν. Ξε. Ἑλ. 2, 1, 14. Κοινόν τι χαρᾷ καὶ λύπῃ δάκρυά ἐστιν. Ξε. Ἑλ. 7, 1, 32. Ὁπότεροι ἂν ὦσι κρείττους, τούτους ἰδίους μάλιστα δεῖ ποιεῖσθαι τῆς ἀρχῆς. Ἀρλ. πολ. 5, 9, 19. Ἡ πόλις ἁπάντων τῶν πολιτευομένων κοινή ἐστιν. Ἀνδ. 2, 1. Ἡ Θάσος ἦν τότε Λακεδαιμονίοις μὲν οἰκεία, ὑμῖν δὲ ἀλλοτρία. Δη. 20, 61. Ἦ οἰκειότερον σοφίᾳ τι ἂν ἀληθείας εὕροις; Πλ. πολ. 485. Κόσμος τις ἐγγενόμενος ἐν ἑκάστῳ ὁ ἑκάστου οἰκεῖος ἀγαθὸν παρέχει ἕκαστον τῶν ὄντων. Πλ. Γο. 506. Ἔστι τὰ τούτου ἐπιτηδεύματα πάσης δημοκρατίας ἀλλότρια. Λυ. 31, 34. Ἡ φιλοσοφία ἐστὶν ἀλλοτρία πάσαις ταῖς πραγματείαις. Ἰσ. 15, 270. Πότερον ἡδονὴ συγγενέστερον ἢ νοῦς ἀληθείᾳ; Πλ. Φιλ. 65. Οὐδὲν προςοιστέον μανικὸν οὐδὲ συγγενὲς ἀκολασίας τῷ ὀρθῷ ἔρωτι. Πλ. πολ. 403. Ἡ μωρία μάλιστ' ἀδελφὴ τῆς πονηρίας ἔφυ. Σο. ἀποσ. 663. Γῆ ἑστία τε οἰκήσεως ἱερὰ πᾶσι πάντων θεῶν. Πλ. νό. 955, e.

A. 6. Ueber κατ- und ὑπήκοος § 47, 26, 2. So hat auch δοῦλος den Da. und Ge. Νόμιζε γῆμας δοῦλος εἶναι τῷ βίῳ. Γν. 77. Τῆς ἐπιμελείας δοῦλα πάντα γίγνεται. Ἀντιφά. 272. (Πάντῃ πάντα τοῖς θεοῖς ὕποχα. Ξε. ἀν. 2, 5, 7.)

A. 7. Auch ἀκόλουθος gestattet wie den Da. so den Ge.; diesen in sofern es ein Anschließen bedeutet. Ἀκόλουθος ὁ νῦν λόγος ἐστί μοι τῷ τότε ῥηθέντι. Δη. 15, 7. Τιμωρία ἀδικίας ἀκόλουθος πάθῃ. Πλ. νό. 728.

A. 8. Gewöhnlich nur mit dem Da. verband man die Adjective und Adverbia welche den Begriff des Geziemenden, Aehnlichen, Gleichen enthalten. Ἃ δοκεῖ κάλλιστα καὶ πρεπωδέστατα γυναιξὶν εἶναι ἐπίστανται. Ξε. ἀπ. 2, 7, 10. Μέθη φύλαξιν ἀπρεπέστατον. Πλ. πολ. 398, e. Ἀνάρμοστόν ἐστι τὸ αἰσχρὸν παντὶ τῷ θείῳ. Πλ. συ. 206. Τῇ μὲν γυναικὶ κάλλιον ἔνδον μένειν ἢ θυραυλεῖν, τῷ δὲ ἀνδρὶ αἴσχιον μένειν ἔνδον ἢ τῶν ἔξω ἐπιμελεῖσθαι. Ξε. οἰκ. 7, 30. Ἀτελεῖ ἐοικὸς οὐδέν ποτ' ἂν γένοιτο καλόν. Πλ. Τί. 30, e. Κακοὺς ἐπωφελῶν δόξεις ὅμοιος τοῖς κακοῖς πεφυκέναι. Σο. Φι. 1371. Ὁ τύραννος μέθην καὶ ὕπνον ὁμοίως ἐνέδρᾳ φυλάττεται. Ξε. Ἱερ. 6, 3. Πῶς τὸ τῷ καλῷ ἀνόμοιον καλὸν ἂν εἴη; Ξε. ἀπ. 3, 8, 4. Γυναῖκας τὰς φύσεις τοῖς ἀνδράσι παραπλησίας ἐστὶ ξυναρμοστέον. Πλ. Τί. 18. Ἐμφερεῖς τοὺς οἰκέτας ἔχοντας ὄψει τοὺς τρόπους τοῖς δεσπόταις. Ἄλεξις 53. Σφόδρ' ἐστὶν ἡμῶν ὁ βίος οἴνῳ προςφερής· ὅταν ᾖ τὸ λοιπὸν μικρόν, ὄξος γίγνεται. Ἀντιφά. 299. Οὐ δεῖ ἴσον τοὺς κακοὺς τοῖς ἀγαθοῖς ἔχειν. Ξε. Κυ. 2, 3, 5. Οὐ ταὐτὰ γίγνεται τἀγαθὰ τοῖς ἥδεσιν οὐδὲ τὰ κακὰ τοῖς ἀνιαροῖς. Πλ. Γο. 497.

A. 9. Bei den Wörtern der Aehnlichkeit und Gleichheit [der Verschiedenheit Her. 1, 172] tritt die § 47, 27, 5 erwähnte Brachylogie ein: Δίκην ὁμοίαν oder τὴν αὐτὴν διδόασι τοῖς ἁμαρτάνουσιν für τῇ δίκῃ τῶν ἁμαρτανόντων; ἐν τῷ αὐτῷ ἡμῖν εἰσιν sie sind an derselben Stelle mit (unserer Stelle) uns; ὁμοίως ἐμοί so v. a. ὁμοίῳ τρόπῳ τῷ ἐμῷ τρόπῳ. [zu Xen. An. 2, 3, 15.] Ὁμοίαν ταῖς δούλαις εἶχε τὴν ἐσθῆτα. Ξε. Κυ. 5, 1, 4. Στέφανος ἅπας, κἂν μικρὸς ᾖ, τὴν ἴσην φιλοτιμίαν ἔχει τῷ μεγάλῳ. Δη. 24, 183. Οὐδ' ὁπωστιοῦν τῶν ἴσων ἀξιῶ τοὺς ἀμείνονας τοῖς κακίοσι τυγχάνειν. Ξε. οἰκ. 13, 12. Σωκράτης ἐπιμελείας ἔτυχεν ὑπ' ἀνθρώπων οὐχ ὁμοίως τοῖς αὐτὸν ἀποκτείνασιν. Ξε. ἀπ. 4, 8, 10. Νομίζετε τῆς αὐτῆς ζημίας ἀξίους εἶναι τοὺς συγκρύπτοντας τοῖς ἁμαρτάνουσιν. Ἰσ. 3, 53. Μὴ σύναγε εἰς ταὐτὸν τὰ κάλλιστα τοῖς αἰσχίστοις. Αἰ. 2, 145.)

[A. 10. Selten findet sich bei diesen Begriffen (A. 8) der Ge., wie bei πρέπων Pl. Rep. 400, Soph. Ai. 534, πρεπόντως Aisch. Ag. 674, Pl. Menex. 239, ὅμοιος an mehreren zw. St. (Schn. zu Pl. Rep. 472, d), ἴσος Ar. Frö. 1059, σύμφωνος Phil. 11, a.]

A. 11. Mit dem Da. verbunden werden auch manche mit Präpositionen, besonders mit ἐν, σύν, πρός, zusammengesetzte Adjective. Vgl. R. 11. Αἰδῶ

καὶ φόβον οὐχ ὁρᾷς ἔμφυτα ἀνθρώποις ὄντα; Ξε. ἀπ. 3, 7, 5. Ψυχῇ βίαιον οὐδὲν ἔμμονον μάθημα. Πλ. πολ. 536, e. Πονηρότατοί εἰσιν οἵτινες οἷς αὐτοὶ τυγχάνουσιν ὄντες ἔνοχοι, ταῦτα τῶν ἄλλων τολμῶσι κατηγορεῖν. Ἰσ. 15, 14. — Οὐκ ἔστι τοῖς μὴ δρῶσι ξύμμαχος τύχη. Σο. ἀποσ. 302. Ἀλλήλοις σύμφωνα δεῖ τὸν νόμον διατάττειν. Πλ. νό. 746. Οὐ δεῖ ἐμὲ ἐμαυτῷ ἀσύμφωνον εἶναι. Πλ. Γο. 482. Σύμψηφος ἡμῖν εἶ. Πλ. Γο. 500, a. — Παῖς παιδὶ καὶ γυναικὶ πρόςφορον γυνή. κω. ἀν. 322. — Ἔρως ἐπίβουλός ἐστι τοῖς καλοῖς καὶ τοῖς ἀγαθοῖς. Πλ. συ. 203.

(A. 12. Von den zusammengesetzten Adjectiven schwanken manche zwischen dem Da. und Ge., selbst einige mit ὁμοῦ zusammengesetzte. Ὅμοροι τοῖς Σικανοῖς ᾤκησαν Ἔλυμοι. Θ. 6, 2, 3. Βοττιαῖοι ὅμοροι Χαλκιδέων οἰκοῦσιν. Θ. 2, 99, 3. Ἄργος τὸ Ἀμφιλοχικὸν ἔκτισεν Ἀμφίλοχος ὁμώνυμον τῇ ἑαυτοῦ πατρίδι ὀνομάσας. Θ. 2, 68, 2. Τεῦκρος ἀφικόμενος εἰς Κύπρον Σαλαμῖνα κατῴκισεν, ὁμώνυμον ποιήσας τῆς πρότερον αὐτῷ πατρίδος οὔσης. Ἰσ. 9, 18. Λύπη μανίας ὁμότοιχος εἶναί μοι δοκεῖ. Ἀντιφά. 295. Ἡ ῥητορική ἐστιν ἀντίστροφος τῇ διαλεκτικῇ. Ἀρλ. ῥητ. 1, 1. Μουσική ἐστιν ἀντίστροφος τῆς γυμναστικῆς. Πλ. πολ. 522, a.)

A. 13. Substantivirungen von Adjectiven die den Da. regieren sind gleichfalls des Da. empfänglich. So am häufigsten Neutra. Φέρεταί πως πᾶς ἀεὶ κατὰ φύσιν πρὸς τὸν ὁμοιότατον αὑτῷ. Πλ. νό. 773. Τί τὸ τῇ πόλει βέλτιστον ἦν; Δη. 18, 102. Ἔχομέν τι μεῖζον κακὸν πόλει ἢ ὃ αὐτὴν διασπᾷ; Πλ. πολ. 462, a. Ζάμολξις πάντα ἔφη ἐκ τῆς ψυχῆς ὡρμῆσθαι καὶ τὰ κακὰ καὶ τὰ ἀγαθὰ τῷ σώματι καὶ παντὶ τῷ ἀνθρώπῳ. Πλ. Χάρ. 156, e.

14. Von Adverbien die nicht von Adjectiven abgeleitet sind erfordern den Da. das locale *ὁμοῦ* und das temporale *ἅμα*, in der Regel auch *ἐφεξῆς*. *Τὸ ὕδωρ ἐπίνετο ὁμοῦ τῷ πηλῷ. Θ.* 7, 84, 3. *Ἥξει Δωριακὸς πόλεμος καὶ λοιμὸς ἅμ' αὐτῷ. Θ.* 2, 54, 1. *Τὰ τούτοις ἐφεξῆς ἡμῖν λεκτέον. Πλ. Τί.* 30.

A. Selten findet sich ἐγγύς mit dem Da. vgl. § 48, 9, 4 und § 47, 29, 1 u. z. Th. 3, 38, 1. Nur im verwandtschaftlichen Sinne sagt man regelmäßig ἐγγύς σοί εἰμι γένει oder γένους in Ansehung des Geschlechtes (meist nur οἱ ἐγγυτάτω γένους). Vgl. Heindorf zu Plat. Soph. 108 u. z. Hipp. 56. Ἐγγύτερον τῷ ἀνθρωπίνῳ θανάτῳ οὐδέν ἐστιν ὕπνου. Ξε. Κυ. 8, 7, 21. Οὐδεὶς ἦν ἄλλος τῷ Κόνωνι γένει ἐγγυτέρω ἐμοῦ. Δη. 48, 6. Οὗτός μοι τυγχάνει ἐγγύτατα γένους ὤν. Πλ. Ἱππίας μεί. 304. (Τοῖς ἐγγυτάτω γένους τὰ τοῦ τελευτήσαντος γίγνεται. Ἰσαῖ. 4, 15. [Ἀποστερεῖ τοὺς ἐγγυτάτω γένει τῆς ἀγχιστείας. Δη. 20, 102.] — Ὁ τοῦ τελευτήσαντος γένει ἐγγύτατα ἐπίσκοπος ἔστω. Πλ. νό. 866, a.

VI. Der dynamische Dativ.

15. In sofern dem Begriffe des Da. etwas besitzlich beigelegt wird, kann er auch als bewirkende Kraft betrachtet werden: durch, mit; aus welcher Bedeutung sich mehrere ähnliche entwickelt haben (Abarten). Vgl. Reg. z. Th. u. Dativ 2.

A. 1. Dieser Da. (meist unpersönlicher Begriffe) wird, wie im Lateinischen der entsprechende Ablativ, gewöhnlich der instrumentale genannt; richtiger der dynamische, da er eig. nicht das Werkzeug bezeichnet, wenn gleich er uneig. oft auch von diesem gebraucht wird. Διὰ τίνος τῶν τοῦ σώματος τῇ ψυχῇ αἰσθανόμεθα; Πλ. Θε. 185. Σκόπει ἀπόκρισις ποτέρα ὀρθοτέρα, ᾧ ὁρῶμεν, τοῦτο εἶναι ὀφθαλμοὺς ἢ δι' οὗ ὁρῶμεν; Πλ. Θε. 185. Ἔσθ' ὅτῳ ἂν ἄλλῳ ἴδοις ἢ ὀφθαλμοῖς; Πλ. πολ. 352, e. Vgl. Plat. Krat. 388, a, Rep. 507. 518 u. Isokr. 3, 7.

A. 2. Dieser Da. findet sich, jedoch in der Regel nur von unpersönlichen Begriffen, bei Adjectiven und Verben aller Art. Σοφοὶ τύραννοι τῇ σοφῶν συνουσίᾳ. Σο. ἀποσ. 12. Οἱ ἀκοσμοῦντες διδασκάλων λόγοισι γίγνονται κακοί. Σο. Φί. 387. Πάντα τἀνθρώπων νοσεῖ, κακοῖς ὅταν θέλωσιν ἰᾶσθαι κακά. Σο. ἀποσ. 98. Οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο. Στ. 29, 31. Μέγας τῷ ὄντι οὗτος ἀνὴρ ὃς ἂν μεγάλα δύνηται γνώμῃ διαπράξασθαι μᾶλλον ἢ ῥώμῃ. Ξε. οἰκ. 21, 8. Νίκησον ὀργὴν τῷ λογίζεσθαι καλῶς. Μέ. μο. 381. — Κακῶς ἡμᾶς αὐτοὺς ποιοῦμεν τέλεσι τοῖς οἰκείοις. Θ. 4, 60, 2.

A. 3. Der Da. bei Passiven ist wohl nur dann ein dynamischer, wenn sein Begriff ein unpersönlicher; eig. ein besitzlicher, wenn der Begriff ein persönlicher ist. Ἀνὴρ ἄβουλος ἡδοναῖς θηρεύεται. Μέ. μο. 55. Χρηστὸς πονηροῖς οὐ τιτρώσκεται λόγοις. Μέ. μο. 542. Τίνι χρὴ κρίνεσθαι τὰ μέλλοντα καλῶς κριθήσεσθαι; ἆρ' οὐκ ἐμπειρίᾳ τε καὶ φρονήσει καὶ λόγῳ; Πλ. πολ. 582, a. — Τἀληθὲς ἀνθρώποισιν οὐχ εὑρίσκεται. Μέ. μο. 511. Τῶν περὶ τὸ σῶμα νοσημάτων πολλαὶ θεραπεῖαι καὶ παντοδαπαὶ τοῖς ἰατροῖς εὕρηνται. Ἰσ. 8, 39. (In Verbindungen wie φυλαττόμενοι ἱκανοῖς φύλαξιν Xen. An. 6, 2, 27 werden die Menschen nur als Werkzeuge betrachtet, wie in dem Falle A. 18.)

A. 4. Aus dem dynamischen Da. entwickelt sich der eine Gemäßheit bezeichnende: vermöge, gemäß, nach. Vgl. 46, 4, 1. Οὐδείς ἐστιν ἀνθρώπων φύσει οὔτε δημοκρατικὸς οὔτε ὀλιγαρχικός. Λυ. 25, 8. Τόν τε γόνῳ πατέρα τὸν ἑαυτοῦ ἔτυπτε, τόν τε ποιητὸν ἀφείλετο ἃ ἦν ἐκείνῳ. Λυ. 13, 91. — Τῷ αὐτῶν ἤθει λεγομένων τῶν λόγων ἕκαστοι χαίρουσιν, τῷ δ' ἀλλοτρίῳ ἄχθονται. Πλ. Γο. 513. Διοικοῦνται αἱ μὲν τυραννίδες καὶ ὀλιγαρχίαι τοῖς τρόποις τῶν ἐφεστηκότων, αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι τοῖς νόμοις τοῖς κειμένοις. Αἰ. 1, 4. — Τὸ πράττειν, τοῦ λέγειν ὕστερον ὂν τῇ τάξει, πρότερον τῇ δυνάμει καὶ κρεῖττόν ἐστιν. Δη. 3, 15. — Χρὴ περὶ τῶν μελλόντων τεκμαίρεσθαι τοῖς ἤδη γεγενημένοις. Ἰσ. 6, 59. [Kr. z. Her. 1, 57, 1; bei μανθάνειν 2c. z. Th. 1, 36, 3. 7, 44, 5.] — Τούτῳ τῷ λόγῳ φρόνησις ἂν εἴη τὸ ὠφέλιμον. Πλ. Μέν. 89, a.

A. 5. Aehnlich steht der Da. caussal: aus, wegen, am häufigsten von subjectiven Begriffen. Τοὺς εὐνοίᾳ καὶ φιλίᾳ τῇ ἐμῇ τὸ δέον συλλαμβάνοντας ῥᾷον φέρω ἢ τοὺς ἀνάγκῃ πάντα διαπονουμένους. Ξε. Κυ. 3, 1, 28. Οἱ ξύμμαχοι τῷ Παυσανίου ἔχθει παρ' Ἀθηναίους μετετάξαντο. Θ. 1, 95, 3. Τὰ μέσα τῶν πολιτῶν φθόνῳ τοῦ περιεῖναι διεφθείροντο. Θ. 3, 82, 9. Περικλῆς τοὺς Ἀθηναίους ὕβρει θαρσοῦντας κατέπλησσεν ἐπὶ τὸ φοβεῖσθαι. Θ. 2, 65, 6. Ἠπείγοντο τοῦ πιεῖν ἐπιθυμίᾳ. Θ. 7, 84, 1. — Ὁπόσα ἀγνοίᾳ οἱ ἄνθρωποι ἐξαμαρτάνουσι, πάντα ἀκούσια ταῦτ' ἐγὼ νομίζω. Ξε. Κυ. 3, 1, 38. — Ὀφείλομεν κοινοῦ τινος ἀγαθοῦ αἰτίᾳ τοὺς μὴ βουλομένους ἐλευθεροῦν. Θ. 4, 87, 3. — Εὐπραγίαις οὐκ ἐξυβρίζομεν. Θ. 1, 84, 2. Οὐδεὶς οὐδὲν πενίᾳ δράσει. Ἀρ. ἐκ. 605. Ἔστι βάρβαρος οὗτος τῷ μισεῖν οὓς αὐτῷ προσήκει τιμᾶν. Δη. 45, 30. [Vgl. Reg. z. Th. u. Dativ 2.]

A. 6. So bezeichnet der Da. besonders bei den Verben der Affecte und ihrer Aeußerungen die Veranlassung: über, wegen. Τί ὧδ' ἀθυμεῖς ὦ γύναι τῷ νῦν λόγῳ; Σο. Ἠλ. 769. — Φθόνος κάκιστος κἀδικώτατος θεὸς κακοῖς τε χαίρει κἀγαθοῖς ἀλγύνεται. Ἱπποθ. 38, 15. Ὁ θεὸς ἔργοις τοῖς δικαίοις ἥδεται. Φιλή. III. Ἀνάγκη φίλον εἶναι τὸν συνηδόμενον τοῖς ἀγαθοῖς καὶ συναλγοῦντα τοῖς λυπηροῖς. Ἀρλ. ῥη. 2, 4. — Καλλικρατίδας ἠχθέσθη τῇ ἀναβολῇ καὶ ταῖς ἐπὶ τὰς θύρας φοιτήσεσιν ὠργίσθη. Ξε. Ἑλ. 1, 6, 7. Τῷ Ἑκατωνύμῳ ἐχαλέπαινον τοῖς εἰρημένοις. Ξε. ἀν. 5, 5, 24. Ἠγανάκτησε τῇ τόλμῃ αὐτῶν. Ξε. Ἑλ. 5, 3, 3. Αἰσχύνομαι ταῖς πρότερον ἁμαρτίαις. Ἀρ. ἱπ. 1355. — Δημοσθένης τοῖς πεπραγμένοις ἐφοβεῖτο τοὺς Ἀθηναίους. Θ. 3, 98, 4. Οἱ ἀγαθοὶ ἄρχοντες τούτους ἀγαλλομένους ἔχουσι τῷ πείθεσθαι ἕνα ἕκαστον. Ξε. οἰκ. 21, 5. Καλλωπίζεσθαι χρὴ τῷ καλῶς δουλεῦσαι μᾶλλον ἢ τῷ καλῶς ἄρξαι. Πλ. νό. 762. Τί σεμνύνεσθε

ταῖς ἐξουσίαις; Σωσιφάνης Στ. 22, 3. — Ὡς ἡδέως κακοῖσιν οἰκείοις γελᾷς. Εὐ. Τρῳ. 406. Vgl. Reg. z. Th. u. Dativ 2 u. § 68, 41, 6.

A. 7. Den Da. und Ac. gestatten βαρέως und χαλεπῶς φέρειν, letzteren mehr in dem Sinne: etwas schwer oder mit Mühe ertragen; ἀπορεῖν (und ἀπορεῖσθαι) verlegen sein neben dem Da. einen Ac. der § 46, 5, 4 erwähnten Art. Βαρέως φέρομεν τὰς συμφοράς. Πλ. Μενέξ. 248. Κούφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς. Εὐ. Μηδ. 1018. — Λύσανδρος βαρέως ἔφερε τῇ ἀτιμίᾳ. Ξε. Ἑλ. 3, 4, 9. Νόσους τῶν καρπῶν οἱ κατὰ γῆν χαλεπῶς φέρουσιν. Ξε. Ἀθ. πολ. 2, 6. Χαλεπῶς φέρω τοῖς παροῦσι πράγμασιν. Ξε. ἀν. 1, 3, 3. Ἕστασαν ἀποροῦντες τῷ πράγματι. Ξε. ἀν. 1, 5, 13. — Τὰ μὲν ἀποροῦσι, τὰ δ' ἔτι ἀμηχανήσουσιν. Θ. 7, 48, 5.

A. 8. Auch ἀγαπᾶν und στέργειν zufrieden sein haben sowohl den Da. als den Ac.; stets den Ac., wenn das Object ein persönliches ist: lieben. [Heindorf z. Plat. Euthyd. 81.] Ἀγαπῶσι τὴν ἐν τῷ παρόντι σωτηρίαν. Πλ. Μενέξ. 240. Ἠγάπων τῇ σωτηρίᾳ. Λυ. 2, 44. Στέργειν ἣν ἀνάγκη τὴν τύχην. Λυ. 33, 4. Στέρξω τῇ ἐμῇ τύχῃ. Πλ. Ἱπ. 295. Δεῖ στέργειν τοῖς παροῦσιν. Ἰσ. 8, 6.

A. 9. Gleichfalls eine Abart des dynamischen Da. ist der mit den Begriffen des Vermehrens, Verminderns, Beschädigens, Strafens verbundene Da.: mit, um; so wie der bei den Begriffen des Uebertreffens, Nachstehens u. ä. erscheinende, durch um, an übersetzbare: Da. der Differenz. Vgl. § 47, 18. Αἱ τῶν ἀγαθῶν ἀνδρῶν γνῶμαι ἀρετῇ πλουτίζουσι τοὺς κεκτημένους. Ξε. ἀπ. 4, 2, 9. Ἐν χρημάτων διοικήσει κρατοίη ἂν ὁ χρήμασιν εὐπορωτέραν τὴν πόλιν ποιῶν. Ξε. ἀπ. 4, 6, 14. Τὸν μὴ πειθόμενον ἀτιμίαις τε καὶ χρήμασι καὶ θανάτοις κολάζουσιν. Πλ. πολ. 492, e. [z. Th. 4, 73, 4.] — Ὁ διαφέρων λογισμῷ πάντ' ἔχει. Μέ. 241. Πλέονι κακῷ ὑπερβάλλει τὸ ἀδικεῖσθαι ἢ ἀγαθῷ τὸ ἀδικεῖν. Πλ. πολ. 358. Οἱ κράτιστοι καὶ τιμαῖς καὶ δώροις πλεονεκτοῦσιν. Ξε. Κυ. 2, 2, 20. Λύσανδρος οὐκ ἀντανήγαγε διὰ τὸ πολλαῖς ναυσὶν ἐλαττοῦσθαι. Ξε. Ἑλ. 1, 5, 15. Τὸ πρεσβύτερον οὐ σμικρῷ τοῦ νεωτέρου ἐστὶ πρεσβευόμενον. Πλ. νό. 879. Εἰ τοῖς ἐν οἴκῳ χρήμασιν λελείμμεθα, ἡ δ' εὐγένεια καὶ τὸ γενναῖον μένει. Εὐ. ἀδ. δρ. 37. [Ueber προλαμβάνειν πολλῷ, προέχειν ἡμέρᾳ z. Th. 7, 80, 3 u. Her. 4, 120, 2.] — Περσέως Ἡρακλῆς ἦν τέτταρσι γενεαῖς νεώτερος. Ἰσ. 11, 37. Χαριέστερον προεξορμᾶν ἡμέρᾳ μιᾷ μᾶλλον ἢ ὑστερίζειν. Ξε. ἀπ. 3, 13, 5. Οἱ Λακεδαιμόνιοι ὕστεροι ἀφίκοντο τῆς ἐν Μαραθῶνι μάχης γενομένης μιᾷ ἡμέρᾳ. Πλ. νό. 698. [Ueber den seltenen Ac. Kr. zu Xe. An. 1, 2, 25 u. 7, 12. vgl. Lobeck z. Phryn. p. 237.]

A. 10. So erscheint der Da. bei Comparativen und Superlativen, am häufigsten πολλῷ, μακρῷ, τοσούτῳ, ὅσῳ; wohl nur beim Comparativ ὀλίγῳ und μικρῷ. Τῇ κεφαλῇ τινα μείζονα φῂς καὶ ἐλάττονα. Πλ. Φαίδ. 101, a. Ὅλῳ καὶ παντὶ ὁμοιότερόν ἐστι ψυχὴ τῷ ἀεὶ ὡσαύτως ἔχοντι μᾶλλον ἢ τῷ μή. Πλ. Φαίδ. 79, e. Πολλῷ κρεῖττόν ἐστιν ἐμφανὴς φίλος ἢ χρυσὸς ἀφανής, ὃν σὺ κατορύξας ἔχεις. Μέ. 130, 15. Τέχνη ἀνάγκης ἀσθενεστέρα μακρῷ. Αἰσ. Προ. 514. Πάντα ἄνδρα θαρραλεώτερον ἂν ποιήσειεν αὐτὸν αὑτοῦ οὐκ ὀλίγῳ ἡ ὁπλομαχία. Πλ. Λάχ. 182. Ἡ παντελὴς καὶ ἀπὸ πασῶν ἀρχῶν ἐλευθερία τῆς μέτρον ἐχούσης ἀρχῆς ὑφ' ἑτέρων οὐ σμικρῷ χείρων. Πλ. νό. 698, a. Τοσούτῳ ἥδιον ζῶ ὅσῳ πλείω κέκτημαι. Ξε. Κυ. 8, 3, 40. Πόσῳ μᾶλλον ἂν μισοῖσθε δικαίως ἢ σώζοισθε; Δη. 19, 238. — Πολλῷ τὸ φρονεῖν εὐδαιμονίας πρῶτον ὑπάρχει. Σο. Ἀντ. 1347. Δεῖ τὰ περὶ τοὺς νόμους γεγραμμένα φαίνεσθαι διαπτυττόμενα μακρῷ κάλλιστά τε καὶ ἄριστα. Πλ. νό. 858, e. Ἐθέλω ὅσῳπερ γεραίτατός εἰμι, τοσούτῳ προθυμότατα μανθάνειν. Πλ. Λά. 201, e.

A. 11. Eben so findet sich auch der Ac., am häufigsten πολύ und beim Comparativ ὀλίγον, wie ausschließlich die Ac. τί und τὶ, οὐδὲν und μηδέν.

[Kr. z. Xe. An. 3, 3, 11.] Πολὺ χεῖρόν ἐστιν ἐρεθίσαι γραῦν ἢ κύνα. Μέ. 782. Νῦν ἂν λέγοις περὶ ὧν ὀλίγον πρότερον μνείαν ἐποιοῦ. Πλ. Πρω. 317, e. — Πολύ γ' ἐστὶ χρῆμα πάντων τιμιώτατον ἅπασιν ἀνθρώποισιν εἰς τὸ ζῆν τέχνη. Ἵππαρχ. 2. [Ῥᾴδιόν ἐστι γνῶναι ὅσον ἀναισχυντότατοι ἀνθρώπων εἰσὶν οὗτοι. Ἰσαῖ. 3, 72.] — Νίκης ἐπιθυμεῖν τί μᾶλλον ἡμῖν ἢ ὑμῖν προσήκει; Ξε. Κυ. 2, 1, 17. Μᾶλλόν τι ἤδη διορῶ ἢ πρόσθεν ὅ, τι χρὴ ποιοῦντα βιοτεύειν. Ξε. οἰκ. 6, 1. Φεύγει τι μᾶλλον τὸν πεπρωμένον μόρον. Αἰ. ἀποσ. 286. [Ueber die seltnere Stellung τι μᾶλλον z. Th. 7, 57, 1.] Οὐδέν ἐστι πραγματωδέστερον οὐδ' ὀχληρότερον τὸ καλῶς φρονεῖν τοῦ κακῶς. Δη. 19, 270. Das τὶ (und τί) findet sich selten bei andern Comparativen als bei μᾶλλον. z. Th. 2, 89, 2. Ueber οὐδέν (μηδέν) τι μᾶλλον Heindorf zu Plat. Phaid. 83. [Ueber πολύ τι Dial. Sy. A. 10 vgl. Kr. z. Arr. 1, 12, 2; über πλέον (τι) bei Th. zu 3, 67, 3. vgl. Plat. Ges. 740, b: μήτε τι πλείους γίγνεσθαι μήτε τί ποτε ἐλάττους.]

A. 12. Aehnlich erscheint auch bei πρό und μετά der Da. wie bei denselben und παρά auch πολύ, ὀλίγον und μικρόν. Δέκα ἔτεσιν πρὸ τῆς ἐν Σαλαμῖνι ναυμαχίας ἀφίκετο Δᾶτις. Πλ. νό. 698. Βοιωτοὶ οἱ νῦν ἑξηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν τὴν νῦν μὲν Βοιωτίαν, πρότερον δὲ Καδμηίδα γῆν καλουμένην ᾤκισαν. Θ. 1, 12, 2. Ὀλίγῳ πρὸ τῶν τριάκοντα τὸ χωρίον ἐξεμίσθωσεν. Λυ. 7, 4. Ὀλίγον πρὸ τῶν Μηδικῶν τριήρεις ἐς πλῆθος ἐγένοντο. Θ. 1, 14, 2. [zu 4, 31, 1.] — Τὴν ναῦν ἐδίωκε ναῦς μία πολὺ πρὸ τῶν ἄλλων. Θ. 2, 91, 2. Πολὺ παρὰ τὴν δόξαν ἐφάνησαν. Λυ. 19, 45.

(A. 13. Eben so findet sich πολλῷ u. ä. bei νικᾶν, κρατεῖν neben dem gewöhnlichern πολὺ (auch παρὰ πολὺ) νικᾶν, κρατεῖν. vgl. § 46, 5, 6. Τὸ πολὺ νικᾶν οὐδενὶ πώποτε μεταμέλειαν παρέσχεν. Ξε. ἱπ. 8, 11. Ὁ διὰ τέλους δυστυχῶν τοσῷδε νικᾷ. Εὐ. Βελλ. 20, 15. Kr. z. Her. 5, 1, 2 u. Schneider zu Plat. Rep. 587, c.

A. 14. Regelmäßig ist dieser Da. auch bei διαφέρειν. Nur von Substantivirungen findet sich auch der Ac.; ja für τί διαφέρει; erst seit Aristoteles auch τίνι διαφέρει; gewöhnlicher διαφέρειν τι als τινί, aber wohl durchaus nur οὐδέν, μηδέν. [Lobeck z. Phryn. p. 394.] Ἀνίσοις ἴσα προστιθέμενα ἴσῳ ποιεῖ διαφέρειν ἀεὶ ὅσῳπερ ἂν τὸ πρῶτον διενέγκῃ. Πλ. Παρ. 154. Οἱ πρόγονοι τοσοῦτον βελτίους ἐγένοντο ὅσονπερ ἄνδρες οἱ φρονιμώτατοι διενέγκοιεν ἂν θηρίων τῶν ἀγριωτάτων. Ἰσ. 12, 121. Τί διαφέρει βίος δίκαιος ἀδίκου; Πλ. πολ. 484. Γυνὴ γυναικὸς πώποτ' οὐδὲν διαφέρει. Μέ. μο. 109. (Οὐκ οἶδ' εἴ τινι διαφέρει ὁ τυραννικὸς βίος τοῦ ἰδιωτικοῦ βίου. Ξε. Ἱέρ. 1, 7. Δέρματος ἢ τινι ἢ οὐδὲν διαφέρει. Ἀρλ. π. ζῴ. ἱστ. 14, 26.

A. 15. Aehnlich bezeichnet der Da. woran oder worin eine Thätigkeit oder ein Zustand sich äußert: an, in. Vgl. § 46, 4, 1. 2. Χρήμασιν μὲν εὐτυχῶ, ταῖς συμφοραῖσι δ', ὡς ὁρᾷς, οὐκ εὐτυχῶ. Εὐ. Ἀνδρομέ. 21. Ἡ Πελοποννησίων δύναμις τοῖς σώμασι τὸ πλέον ἴσχυεν ἢ τοῖς χρήμασιν. Θ. 1, 121, 2. Οἱ πρεσβύτεροι τῷ εὖ φρονεῖν ἀκμάζουσιν. Αἰ· 1, 24. Αἰσχρὸν εἶναι νόμιζε τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις. Ἰσ. 1, 26. — Τῷ μὲν τρόπῳ γίγνου φιλοπροσήγορος, τῷ δὲ λόγῳ εὐπροσήγορος. Ἰσ. 1, 20. (Ueber ἑνί γέ τῳ τρόπῳ wenigstens auf irgend eine Weise. Heindorf zu Plat. Phaidr. 42.) Ἀλκιβιάδης ἡλικίᾳ μὲν ἦν ἔτι τότε νέος, ἀξιώματι δὲ προγόνων τιμώμενος. Θ. 5, 43, 1. Κορίνθιοι χρήμασι δυνατοὶ ἦσαν Θ. 1, 13, 4. Ἄνδρες ὑμῶν οἱ πρῶτοι καὶ χρήμασι καὶ γένει ἐπεκαλέσαντο ἡμᾶς. Θ. 3, 65, 1. [Ueber τοῖς πᾶσιν in allen Dingen Reg. z. Th. in πᾶς.]

A. 16. Auch der bloß als mitwirkend der Handlung zukommende Begriff steht im Da. vgl. § 46, 5, 3. Δρόμῳ ἠπείγοντο πρὸς τὴν γέφυραν. Θ. 6, 103, 3. (Ueber δρόμῳ θεῖν Kr. z. Th. 3, 111, 1. 5, 10, 6.) Φυγῇ ἐς τὴν θάλασσαν ὥρμησαν. Θ. 4, 115, 2. (Ueber φυγῇ φεύγειν ꝛc. Lobeck Paralipp. p. 524 s.) Οὐδὲν γνώμῃ ἀλλὰ τύχῃ πάντα πράττεις. Ξε. ἀπ. 1, 4, 9. Τύχῃ ἀγαθῇ καταρχέτω. Πλ. συ. 177, e. Ὁ εἰς τὸν ἀσθενῆ βίᾳ τι ποιῶν ὑβρίζειν, οὐχ ἁμαρτάνειν δοκεῖ. Φιλιππίδης 27. Πάνυ σπουδῇ ἔλαβε τὰς

βίβλους. Πλ. Φαίδ. 98. Τό γ' ὀρθὸν καὶ δίκαιον οὔποτε σιγῇ παρήσω. Μοσχίων Στ. 13, 14. — Πάντα ὅσα ἀρετῇ πράττεται καλά τε καὶ ἀγαθά ἐστιν. Ξε. ἀπ. 3, 9, 5. — Ὁ παθὼν τῷ δράσαντι ἀμβλυτέρᾳ τῇ ὀργῇ ἐπεξέρχεται. Θ. 3, 38, 1. Θυμῷ καὶ ῥώμῃ τὸ πλέον ἐναυμάχουν ἢ ἐπιστήμῃ. Θ. 1, 49, 2. Σωκράτης πάντα ὅσα πράττει νῷ πράττει. Πλ. Φαίδ. 98. (Ueber νῷ λαμβάνειν, ἔχειν ꝛc. Schneider zu Plat. Rep. 490, a. vgl. Engelhardt z. Euthyphr. p. 90; λόγῳ λαμβάνειν Stallbaum z. Phaidr. p. 224, c.) — Αἱ πόλεις οὐκ ἐδέχοντο αὐτοὺς ἀγορᾷ οὐδὲ ἄστει. Θ. 6, 44, 2 u. dort Kr. Ueber οὐδενὶ κόσμῳ, meist ohne σύν, z. Th. 2, 52, 1. vgl. z. Arr. 4, 26, 3 lat. A.

A. 17. Aus dem dynamischen Da. und seinen Abarten entwickelten sich mancherlei adverbartige Ausdrücke, wie τῷ ὄντι in der That, wirklich, τῇ ἀληθείᾳ in Wahrheit, (τῷ) ἔργῳ der Sache, der That nach, (τῷ) λόγῳ (ὀνόματι) dem Worte nach, προφάσει vorgeblich. vgl. § 46, 4, 1 u. 3. Hieher gehören auch Substantivirungen wie ἰδίᾳ privatim, δημοσίᾳ öffentlich, κοινῇ gemeinsam. (Verschieden ist das elliptische ἑνὶ λόγῳ (um es) mit einem Worte (zu sagen) u. ä. vgl. § 62, 3, 12 u. ä.) Τὰ καλὰ τῷ ὄντι χαλεπά. Πλ. πολ. 497. Τῇ ἀληθείᾳ κάλλιόν ἐστι σοφιστικὴ ῥητορικῆς. Πλ. Γο. 520. Οἱ πρόγονοι οὐ λόγῳ τὴν ἀρετὴν ἐπετήδευον, ἀλλ' ἔργῳ πᾶσιν ἐπεδείκνυντο. Λυκ. 104. Βοηθοῦσι τῷ μὲν ὀνόματι ἡμῖν, τῷ δ' ἔργῳ σφίσιν αὐτοῖς. Λυ. 20, 17. (Ἑνὶ λόγῳ οὔτε ἀνοίας οὐδὲν ἐλλείπει οὔτε ἀναισχυντίας. Πλ. πολ. 571.) Ueber τῷ ῥήματι Heindorf z. Plat. Gorg. 12.

A. 18. An A. 16 schließt sich der Da. welcher eine (dienstbare) Begleitung bezeichnet, auch von Truppen üblich, die aber dann nur als Kriegsmittel (παρασκευή) vorgestellt werden. [Herm. De Ell. p. 164 s.] Ἦλθον Πέρσαι παμπληθεῖ στόλῳ ὡς ἀφανιοῦντες τὰς Ἀθήνας. Ξε. ἀν. 3, 2, 11. Ἡμεῖς καὶ ἵπποις τοῖς δυνατωτάτοις καὶ ἀνδράσι πορευώμεθα. Ξε. Κυ. 5, 3, 35. Οἱ Λακεδαιμόνιοι τῷ τε κατὰ γῆν στρατῷ προςέβαλλον τῷ τειχίσματι καὶ ταῖς ναυσὶν ἅμα. Θ. 4, 11, 1.

A. 19. Selten ist hier σύν [z. Th. 6, 62, 1 u. zu Xe. An. 1, 8, 1], eben so in der Verbindung αὐτοῖς (τοῖς) ἀνδράσιν (woher bei Spätern αὔτανδρος), Ggs. ἄνευ τῶν ἀνδρῶν Thuk. 8, 102, 3, αὐταῖς (ταῖς) τριήρεσιν u. ä. sammt der Mannschaft, den Trieren, gew. ohne den Artikel. [Elmsley zu Eu. Med. 161 u. Lobeck z. Phryn. p. 99 s.] Ἔπλεον ξὺν παντὶ [ξύμπαντι Kr.] τῷ στρατεύματι ἐπὶ Σελινοῦντος. Θ. 6, 62, 1. [Ἔπλει μετὰ δέκα τριήρων. Ξε. Ἑλ. 4, 8, 24.] Εἶπεν ἥκειν εἰς τὰς τάξεις αὐτοῖς στεφάνοις. Ξε. Κυ. 3, 3, 40. Τῶν νεῶν τινας ἀναδούμενοι εἷλκον κενάς, μίαν δὲ αὐτοῖς ἀνδράσιν εἷλον. Θ. 2, 90, 4. (Οὔ σ' ἐχρῆν τὰς ἀσπίδας ἐᾶν αὐτοῖσι τοῖς πόρπαξιν ἀνατεθῆναι. Ἀρ. ἱπ. 849.) [Εἵπετο τῷ λοχαγῷ ξὺν αὐτῷ τῷ θώρακι καὶ τῇ κοπίδι. Ξε. Κυ. 2, 2, 9.]

A. 20 Nicht selten ist die Verbindung mehrerer Dative. [z. Th. 1, 116, 1.] Δεήσει τούτοις ναυσὶ βοηθεῖν. Θ. 1, 81, 1. Τούτῳ τῷ τρόπῳ ἀτελεῖ τῇ νίκῃ ἀνέστησαν. Θ. 8, 27, 5. (Ἄλλῃ ἐφόδῳ παντὶ τῷ στρατοπέδῳ ἐπῄει τῷ λόφῳ. Θ. 4, 129, 5.) Vgl. Xe. An. 4, 5, 12, Kyr. 3, 1, 38, Dem. 45, 71, Plat. Prot. 335, a u. Kr. z. Thuk. 1, 116, 1.

§ 49. Die Comparationsgrade.

1. Der Positiv, die absolute Form des Adjectivs, hat auch eine Art comparativer Bedeutung, in so fern angegeben wird daß die Eigenschaft unangemessen sei für eine bestimmte Handlung: zu, allzu. Als Ausdruck für dieselbe steht der Infinitiv mit oder ohne ὡς oder ὥστε: um zu. [z. Th. 1, 50, 5. vgl. Her. 6, 109, 1 u. 7, 207. *Ἡ χώρα ἡ τότε ἱκανὴ τρέφειν τοὺς τότε* σμικρὰ *δὴ ἐξ ἱκα-*

νῆς ἔσται. Πλ. πολ. 373. Ἅπας πονηρὸς οἶνος ὁ πολύς ἐστ' ἀεί. Φιλ. 199. [vgl. § 43, 3, 2 u. Aristot. Probl. 30, 1.] Ταπεινὴ ὑμῶν ἡ διάνοια ἐγκαρτερεῖν ἃ ἔγνωτε. Θ. 2, 61, 2. — Ὀλίγοι ἐσμὲν ὡς ἐγκρατεῖς εἶναι αὐτῶν. Ξε. Κυ. 4, 5, 15. — Τὸ ὕδωρ ψυχρὸν ὥστε λούσασθαί ἐστιν. Ξε. ἀπ. 3, 13, 3. (Γέρων μὲν ἐκεῖνος ὥστε ἐμοὶ βοηθεῖν, νεώτερος δ' ἐγὼ πολλῷ ἢ ὥστε δύνασθαι ἐμαυτῷ τιμωρεῖν ἱκανῶς. Ἀντ. 5, 79.) Vgl. Wyttenbach z. Jul. p. 217 Schäfer.

2. Der Comparativ bezeichnet ein Uebermaß, Ueberragen (ὑπερβολή), entweder rücksichtlich eines Gegenstandes (Subjects) oder einer andern Eigenschaft oder einer Handlung. [Nitzsch De comparativis Gr. linguae modis hinter seiner Ausg. des Jon.]

A. 1. Ueber den Ge. oder ἤ beim Comparativ § 47, 27.

(A. 2. Vor einem hypothetischen oder relativen Satze fehlt (für unsere Sprechweise) nach dem Comparativ in Fragen zuweilen das ἤ. [z. Th. 1, 33, 2.] Τίς εὐπραξία σπανιωτέρα εἰ αὕτη ἡ δύναμις πάρεστιν αὐτεπάγγελτος; Θ. 1, 33, 2. Πῶς ἂν ἄνθρωποι σχετλιώτεροι γένοιντο, οἵτινες ἅπερ αὐτοὶ σφᾶς αὐτοὺς οὐκ ἔπεισαν, ταῦθ' ὑμᾶς ἀξιοῦσι πεῖσαι; Ἀντ. 6, 47.)

A. 3. Πλέον, ἔλαττον und μεῖον stehen adverbial auch mit Substantiven in Bezug gesetzt, wenn eine Zahl mit ἤ oder im Ge. folgt; dabei wie bei den gleichfalls zulässigen Adjectiven πλέων 2c. (Thuk. 6, 25, 2 vgl. eb. § 3, Xen. An. 5, 10, 16. 7, 1, 27, Kyr. 2, 1, 5) kann ἤ auch fehlen. Τοῖς στρατιώταις ὠφείλετο μισθὸς πλέον ἢ τριῶν μηνῶν. Ξε. 1, 2, 11. Τριήρεσιν οὐκ ἔλαττον ἢ ἑκατὸν πλευστέα ἐστίν. Θ. 6, 25, 2. Ἀπέθανον οὐκ ἔλαττον τῶν εἴκοσιν. Ξε. Ἑλ. 7, 4, 23. — Οὐκ ἂν δύναιο μεῖον ἢ ἐν ἓξ ἢ ἑπτὰ ἡμέραις ἐλθεῖν πρὸς τὴν ἐμὴν οἴκησιν. Ξε. Κυ. 5, 3, 28. Τοῦτον μόνον λέγονται Λοκροὶ θέσθαι τὸν νόμον ἐν πλέον ἢ διακοσίοις ἔτεσιν. Δη. 24, 141. — Πέμψω ὄρνις ἐπ' αὐτὸν πλεῖν ἑξακοσίους τὸν ἀριθμόν. Ἀρ. ὄρ. 1251. Ἀπέθανον Ἀθηναίων ὀλίγῳ ἐλάσσους πεντήκοντα. Θ. 4, 44, 5. [Hermann De Ell. p. 180? Ueber die sehr zweifelhafte Annahme daß beim Ge. ἤ überflüssig zutreten könne vgl. Hermann zu So. Ant. 1266 u. Ullrich Beitr. zur Krit. des Th. 2 S. 17 f. Der Ge. des Preises bei ἤ Lys. 19, 31. 47.]

(A. 4. Wenn bei μᾶλλον eine Negation steht oder in dem Satze enthalten ist, so kann auch ἢ οὔ folgen. Die Erkl. zu Soph. Ai. 1237. Οὐ περὶ τῶν ἐμῶν ἰδίων μᾶλλον τιμωρήσεσθε Πολυκλέα ἢ οὐχ ὑπὲρ ὑμῶν αὐτῶν. Δη. 50, 66. Fraglich Thuk. 3, 36, 3 u. Xe. Hell. 6, 3, 15. Vgl. Buttm. z. Dem. g. Mid. p. 144 s. Hermann z. Vig. 798 f.

[A. 5. Für μᾶλλον findet sich, besonders bei Thuk., auch πλέον (τι) und τὸ πλέον, vgl. § 46, 5, 8 u. z. Th. 1, 9, 3. 74, 4. 3, 67, 3. Μίσει πλέον ἢ δίκῃ κρίνουσιν. Θ. 3, 67, 3. Τὸ σωφρονεῖν τιμᾶτε τοῦ βίου πλέον. Αἰσ. Ἱκ. 1012. Τοὺς νοῦν ἔχοντας πλέον τι τῶν ἄλλων περὶ πολλοῦ ποιοῦ καὶ θεράπευε. Ἰσ. 2, 53. Δέει τὸ πλέον ἢ φιλίᾳ κατεχόμενοι ξύμμαχοι ἦμεν. Θ. 3, 12, 1.]

[A. 6. Statt ἤ tritt nach einer Negation zuweilen mit Lebhaftigkeit ein adversativer Satz ein. Ὁ πόλεμος οὐχ ὅπλων τὸ πλέον, ἀλλὰ δαπάνης. Θ. 1, 83, 1 u. dort Kr.]

(A. 7. Statt ἤ folgt nach dem Comparativ zuweilen ἀντί, die Wahl bei einer Alternative, oder πρό, das Vorziehen des Gegenstandes bezeichnend. Λυκοῦργος κατειργάσατο ἐν τῇ πόλει αἱρετώτερον εἶναι τὸν καλὸν θάνατον ἀντὶ τοῦ αἰσχροῦ βίου. Ξε. Λακ. π. 9, 1. Μήτε παῖδας περὶ πλείονος ποιοῦ μήτε τὸ ζῆν μήτε ἄλλο μηδὲν πρὸ τοῦ δικαίου. Πλ. Κρίτ. 54.)

[A. 8. Πρός mit dem Ac. bei einem Comparativ bezeichnet eine verglei

chende Beziehung; παρά mit dem Ac. eine vergleichende Zusammenstellung. [z. Th. 1, 23, 3. 3, 37, 3. 8, 41, 1.] Οἱ φαυλότεροι τῶν ἀνθρώπων πρὸς τοὺς ξυνετωτέρους ὡς ἐπὶ τὸ πλεῖον ἄμεινον οἰκοῦσι τὰς πόλεις. Θ. 3, 37, 1. Ἡλίου ἐκλείψεις πυκνότεραι παρὰ τὰ ἐκ τοῦ πρὶν χρόνου μνημονευόμενα ξυνέβησαν. Θ. 1, 23, 3.]

[A. 9. Der Comparativ mit dem Ge. oder ἤ kann zur Bezeichnung eines Gegensatzes auch den Artikel annehmen, wie § 50, 2, 13. Ἐξῆν αὐτοῖς ἰέναι πράξοντας τὰ βελτίω τούτων. Ξε. απ. 3, 9, 9. Λακεδαιμονίοις ἡ ξύμβασις ἐκ τοῦ αἰσχίονος ἢ ὑμῖν ἐγένετο. Θ. 6, 10, 1. Vgl. N. 6 E. u. Hermann zu So. Ant. 313, Kr. z. Th. 5, 60, 1 u. Krit. Anal. 1 S. 151. vgl. Xe. Mem. 2, 5, 5.

3. Der Gegenstand auf den die Vergleichung bezogen wird kann auch das Subject des Comparativs selbst sein. Dem gemäß steht beim Comparativ auch der Ge. des Reflexivs (nie ἤ), um zu bezeichnen daß im vorliegenden Falle die Eigenschaft dem Subject selbst im höheren Grade zukomme als sonst (gewöhnlich). Vgl. N. 9. *Οἱ περὶ τὴν γραμματικὴν διαπονηθέντες αὐτοὶ αὑτῶν εὐμαθέστεροι γίγνονται πρὸς τὰ μείζω καὶ σπουδαιότερα τῶν μαθημάτων. Ἰσ.* 15, 267. *Οἱ ἐπιστήμονες τῶν μὴ ἐπισταμένων θαῤῥαλεώτεροί εἰσι, καὶ αὐτοὶ ἑαυτῶν ἐπειδὰν μάθωσιν ἢ πρὶν μαθεῖν. Πλ. Πρω.* 350, a. [z. Th. 7, 66, 3.] *Ὁρῶ ἔγωγε καὶ τοὺς πάνυ ἐμπείρους τοῦ ἀγωνίζεσθαι πολλῷ χεῖρον ἑαυτῶν λέγοντας, ὅταν ἔν τινι κινδύνῳ ὦσιν. Ἀντ.* 5, 7.

4. Wenn die Eigenschaft durch ihr Uebermaß in Bezug auf einen Begriff als unangemessen vorgestellt wird, so folgt dem Comparativ ἢ κατά und der Ac. [z. Th. 6, 15, 2]: quam pro, als gemäß; wenn in Bezug auf eine Handlung, so bezeichnet man diese durch den Infinitiv mit ἤ, ἢ ὡς oder gewöhnlicher ἢ ὥστε: quam ut, zu, allzu — als daß —. *Τὸ τοὺς νόμους αὐτοὺς τοῖς παραβαίνουσι τὰς τιμωρίας ἔχειν βελτίονος ἢ κατ' ἄνθρωπον νομοθέτου δοκεῖ μοι εἶναι. Ξε. ἀπ.* 4, 4, 24. *Οἱ Ἀθηναῖοι ἐν Σικελίᾳ μείζω ἢ κατὰ δάκρυα ἐπεπόνθεσαν. Θ.* 7, 75, 4. — *Οἱ θεοὶ βελτίους ἢ παρὰ τὸ δίκαιον ὑπό τινων δώρων παρατρέπεσθαι κηλούμενοι. Πλ. νό.* 885, e. *Τὸ δαιμόνιον μεγαλοπρεπέστερον ἡγοῦμαι ἢ ὡς τῆς ἐμῆς θρησκείας προσδεῖσθαι. Ξε. ἀπ.* 1, 4, 10. *Ἦν μείζω κακὰ ἢ ὥστε ἀνακλάειν. Ἡρ.* 3, 14, 5. *Φοβοῦμαι ἀεὶ μή τι μεῖζον ἢ ὥστε φέρειν δύνασθαι κακὸν τῇ πόλει συμβῇ. Ξε. ἀπ.* 3, 5, 17. [*Ἔστι μείζω τἀκείνων ἔργα ἢ ὡς τῷ λόγῳ τις ἂν εἴποι. Δη.* 6, 11.]

5. Wenn zwei Eigenschaften (eines Subjects) durch ἤ mit einander verglichen werden, so stehen beide Adjective (oder Adverbia) im Comparativ. [Herm. De ell. p. 186 s.?] *Ὁ μὴ πείσας ἀξυνετώτερος δόξας εἶναι ἢ ἀδικώτερος ἀπεχώρει. Θ.* 3, 42, 3. *Οἱ ὀξεῖς μανικώτεροι ἢ ἀνδρειότεροι φύονται. Πλ. Θε.* 144, a. *Τὴν εἰρήνην ἀναγκαιοτέραν ἢ καλλίω ὑπελάμβανον εἶναι. Αἰ.* 3, 69. *Ἀναγκαῖον ἦν συντομώτερον ἢ σαφέστερον διαλεχθῆναι. Ἰσ.* 6, 24. [*Εἰς Ἰωλκὸν ἱκόμην ξὺν σοί, πρόθυμος οὖσα μᾶλλον ἢ σοφωτέρα. Εὐ. Μήδ.* 485. *Ἀτρεὺς προθύμως μᾶλλον ἢ φίλως πατρὶ παρέσχε δαῖτα. Αἰσ. Ἀν.* 1591. *Ὡς εὐτυχὴς εἶ μᾶλλον ἢ καλῶς φρονεῖς. Εὔπολις* 214.]

6. Ohne einen maßbestimmenden Begriff oder Satz (mit *ἤ* oder dem Ge.) steht der Comparativ, 1) wenn der Zusammenhang ergiebt womit verglichen wird; 2) wenn auf das gewöhnliche oder rechte Maß Bezug genommen wird: zu, allzu; 3) wenn das Gegentheil als Maß zu denken ist. *Αἱρετώτερον τὸ αὐταρκέστερον. Ἀρλ. πολ.* 2, 1, 7. *Οὐκ ἀποδέξονται ὑμᾶς ἀνδρῶν ἀγαθῶν πέρι αὐτοὺς ἀμείνους ὄντας ἀπρεπές τι ἐπιγνῶναι. Θ.* 3, 57, 1. *Οἵτινες τοῖς μὲν ἴσοις μὴ εἴκουσι, τοῖς δὲ κρείσσοσι καχῶς προςφέρονται, πρὸς δὲ τοὺς ἥσσους μέτριοί εἰσι πλεῖστ' ἂν ὀρθοῖντο. Θ.* 5, 111, 5. *Ἐν εἰρήνῃ οἱ ἰδιῶται ἀμείνους τὰς γνώμας ἔχουσιν. Θ.* 3, 82, 2. — *Πολλοὶ διὰ τὴν ἰσχὺν μείζοσιν ἔργοις ἐπιχειροῦντες οὐ μικροῖς κακοῖς περιπίπτουσιν. Ξε. ἀπ.* 4, 2, 35. *Πόλις ἀφισταμένη τίς πω ἥσσω τῇ δοκήσει ἔχουσα τὴν παρασκευὴν τούτῳ ἐπεχείρησεν. Θ.* 3, 45, 1. *Μῶν ὕστεραι πάρεσμεν ὦ Λυσιστράτη. Ἀρ. Λυ.* 69. [z. Th. 2, 80, 4.] — *Ἄμεινόν ἐστι παντὶ ὑπὸ θείου καὶ φρονίμου ἄρχεσθαι. Πλ. πολ.* 590. e. *Θεμιστοκλῆς τὸ ἄμεινον ἢ χεῖρον ἐν τῷ ἀφανεῖ ἔτι προεώρα μάλιστα. Θ.* 1, 138, 4. (*Ἔλεξέ τις ὡς τὰ χείρονα πλείω βροτοῖσίν ἐστι τῶν ἀμεινόνων· ἐγὼ δὲ τούτοις ἀντίαν γνώμην ἔχω, πλείω τὰ χρηστὰ τῶν κακῶν εἶναι βροτοῖς. Εὐ. Ἱκ.* 196. (vgl. 2 A. 9.)

A. 1. Zu 2) gehört eigentlich auch der Fall wo wir statt des Comparativs den Positiv mit etwas, ziemlich, wohl auch eben setzen. Πάντα τὰ ζητούμενα δεῖσθαι μερίμνης φασὶν οἱ σοφώτεροι. Μέ. 186. Ἀτεχνῶς, εἰ καὶ γελοιότερον εἰπεῖν, πρόςκειμαι τῇ πόλει ὑπὸ τοῦ θεοῦ ὥςπερ ἵππῳ δεομένῳ ἐγείρεσθαι ὑπὸ μύωπός τινος. Πλ. ἀπ. 30' e. Ἐμοὶ τὰ τοιαῦτα οὐκ ἀηδέστερα ἀκούειν. Πλ. Θε. 177. Οἱ μουσικῇ χρησάμενοι μαλακώτεροι γίγνονται ἢ ὡς κάλλιον αὐτοῖς. Πλ. πολ. 410.

A. 2. Die comparative Beziehung ist in vielen besonders zu 3) gehörigen Fällen fast ganz erloschen. So in νεώτερον das von Neuerungen und Neuigkeiten, besonders unerwünschten, gebraucht wird (bei Dichtern auch νέον), und οὐ χεῖρον. Νεωτέρων τινὲς ἐπεθύμουν πραγμάτων. Ξε. Ἑλ. 5, 2, 9. Μή τι νεώτερον ἀγγέλλεις; Πλ. Πρω. 310. Οὐ χεῖρον πολλάκις ἀκούειν. Πλ. Φαίδ. 105, a. [z. Her. 3, 62, 2.]

A. 3. Unser das wäre zu weitläufig u. ä. wird im Griechischen gewöhnlich durch den Positiv ausgedrückt. Οἷα τῷ σώματι ἠνεσχόμην, μακρὸν ἂν εἴη μοι λέγειν. Ἀνδ. 2, 15. Τὰς ἀποικίας καθ' ἕκαστον διηγεῖσθαι μακρὸς ἂν εἴη λόγος. Ἀνδ. 3, 9. Ὅσα αὐτόθι ἐρρήθη πολὺς ἂν εἴη μοι λόγος διηγεῖσθαι. Λυ. 23, 11. (Τὰ ἄλλα μακρότερος ἂν εἴη λόγος ἐμοί τε διηγήσασθαι ὑμῖν τε ἀκοῦσαι. Ἀντ. 1, 18.)

7. Umschreibung des Comparativs (durch *μᾶλλον* mit dem Positiv) ist im Griechischen ungleich seltener als in andern Sprachen erforderlich.

A. 11. Ἄλλος, selten ἕτερος [vgl. Her. 3, 88, 2 u. z. Xen. An. 1, 4, 2], wird mit einem Substantiv attributiv auch da verbunden wo dieses dem Gedanken nach appositiv hinzugefügt sein sollte, also z. B. οἱ ἄλλοι σύμμαχοι für οἱ ἄλλοι, οἱ σύμμαχοι; ἡ ἄλλη παρασκευή für τὰ ἄλλα, ἡ παρασκευή rc. Oft sind dann ἄλλος und ἕτερος durch außerdem zu übersetzen. [Kr. z. Dion. p. 139 u. Elmsley z. Eu. Med. 291.] Οὐκ ἦν χόρτος οὐδ' ἄλλο δένδρον οὐδέν. Ξε. ἀν. 1, 5, 5. Εὐδαιμονίζεται ὑπὸ τῶν πολιτῶν καὶ τῶν ἄλλων ξένων. Πλ. Γο. 473. Γέρων χωρεῖ μεθ' ἑτέρου νεανίου. Ἀρ. ἐκ. 849.

A. 12. Bei πολύς und ὀλίγος kann der Artikel anaphorische Bedeutung haben vgl. 2 A. 1. [z. Th. 6, 88, 2.] Außerdem aber heißt οἱ πολλοί die Menge als zusammengefaßte Masse gedacht, vorzugsweise (wie auch τὸ πλῆθος) von der demokratischen Masse, sowohl in einem bestimmten Staate als generisch gedacht; eben so οἱ ὀλίγοι die Wenigen als Gesammtheit gedacht, vorzugsweise von den Oligarchen. [Kr. Stud. 2 S. 68. vgl. z. Th. 3, 39, 6.] Daneben heißt οἱ πολλοί auch die Meisten im Gegensatze zu Einzelnen, die man sich als von der Gesammtheit abgeschieden denkt, wie τὸ πολύ der größte Theil, die Hauptmasse, z. B. τοῦ στρατεύματος, etwa im Gegensatze zu detachirten Corps [zu Xe. An. 1, 4, 13, u. z. Th. 4, 113, 1]; dagegen οἱ πλέονες, τὸ πλέον die Mehrzahl, im Gegensatze zu einer (nachstehenden) Minderzahl,

Minorität; οἱ πλεῖστοι, τὸ πλεῖστον **die Meisten, der größte Theil** in sofern man die größte Anzahl von Individuen bezeichnet. [Kr. Stud. 2 S. 67 f. vgl. z. Th. 3, 1.] Δεῖ περὶ τῆς ἀρχῆς παντὸς πράγματος παντὶ ἀνδρὶ τὸν πολὺν λόγον εἶναι καὶ τὴν πολλὴν σκέψιν εἴτε ὀρθῶς εἴτε μὴ ὑπόκειται. Πλ. Κρατ. 436, e. (Ἅπας πονηρὸς οἶνος ὁ πολύς ἐστ' ἀεί. Φιλ. 199.) — Εἶναι ὑπόλαβε καὶ σὲ τῶν πολλῶν ἕνα. Φιλιππίδης 18. Οἱ Ἀθηναῖοι τῷ μὲν πλήθει ἐβοήθουν, ταῖς δὲ δυναστείαις ἐπολέμουν, δεινὸν ἡγούμενοι τοὺς πολλοὺς ὑπὸ τοῖς ὀλίγοις εἶναι. Ἰσ. 4, 105. (Πρὸς ὀλιγαρχουμένους οὐδὲ τὴν φιλίαν ἀσφαλῆ νομίζω· οὐ γὰρ ἔσθ' ὅπως ὀλίγοι πολλοῖς καὶ ζητοῦντες ἄρχειν τοῖς μετ' ἰσηγορίας ζῆν ᾑρημένοις εὖνοι γένοιντ' ἄν. Δη. 15, 18.) — Οἱ πολλοὶ κακοὶ γίγνονται τῶν δυναστῶν. Πλ. Γο. 526. Χρόνος δοκεῖ τὰ πολλὰ καλῶς βασανίζειν. Πλ. συ. 184, a. Τῶν πολεμίων τὸ μὲν πολὺ ἔμενε, μέρος δ' αὐτῶν ἀπήντα. Ξε. ἀν. 4, 6, 24. Σώζει τὰ πολλὰ σώμαθ' ἡ πειθαρχία. Σο. Ἀντ. 676. — Κύριον τὸ τοῖς πλείοσι δόξαν. Ἀρλ. πολ. 6, 1, 6. Πολλάκις τὸ ἔλασσον πλῆθος δεδιὸς ἄμεινον ἠμύνατο τοὺς πλέονας. Θ. 2, 11, 3. Τὸ πλέον τοῖς ὀλίγοις ἢ τὸ ἔλασσον τοῖς πᾶσι ἐδούλωσεν. Θ. 4, 86, 3. — Σχεδὸν οἱ πλεῖστοι φαῦλοι κριταὶ περὶ τῶν οἰκείων. Ἀρλ. πολ. 3, 5, 8. Τοῦ ἱππικοῦ τὸ πλεῖστον Ὀδρύσαι παρείχοντο. Θ. 2, 98, 3.

A. 13. Aehnlich findet sich der Artikel zuweilen bei **Comparativen**, selbst wenn ἤ oder ein diesem synonymer Genitiv darauf folgt. Vgl. 2 A. 8. Ἀεὶ τὸ χεῖρον τοῦ βελτιόνός ἐστιν ἕνεκα. Ἀρλ. πολ. 7, 13, 6. Ζητῶν τὰ πλεῖον' εἶτα πάντ' ἀπώλεσεν. Εὐ. Ἰνώ 7. — (Ἐν τῷ λέγειν κάκ' ἂν λάβοις τὰ πλεῖον' ἢ σωτήρια. Σο. ΟΚ. 795. Βροτοῖς τὰ μείζω τῶν μέσων τίκτει νόσους. Ἀλκμαί. 13. Τὰ πλείω χρηστὰ τῶν κακῶν ἔχεις. Εὐ. Ἱπ. 471. vgl. § 49, 2, 9.)

A. 14. Auch das **Prädicat** gestattet den Artikel, sowohl in deiktischer als in generischer Bedeutung. [Kr. Stud. 2 S. 80 f. vgl. z. Th. 2, 43, 3.] Ὁ πρᾳότερός ἐστι τῶν καθαρμῶν ὁ τοιόςδε ἡμῖν. Πλ. νό. 735, e. Αἱ πόλεις εἰσὶν ἄνδρες, οὐκ ἐρημία. Εὐ. Φρίξ. 12. — Ἡγούμεθα τὸν θάνατον εἶναι τὴν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἀπαλλαγὴν καὶ εἶναι τοῦτο τὸ τεθνάναι. Πλ. Φαίδ. 64. Τὴν ταμίαν ἐποιησάμεθα ἐπισκεψάμενοι ἥτις ἡμῖν ἐδόκει εἶναι ἐγκρατεστάτη γαστρός. Ξε. οἰκ. 9, 11. Ἱκανὸν παρέχομαι τὸν μάρτυρα ὡς ἀληθῆ λέγω τὴν πενίαν. Πλ. ἀπ. 31. — Οἱ ἀδικούμενοι πάντες εἰσίν. Πλ. νό. 768. Οἱ τιθέμενοι τοὺς νόμους οἱ ἀσθενεῖς ἄνθρωποί εἰσι καὶ οἱ πολλοί. Πλ. Γο. 483. Τὰ ἀγαθὰ φῂς εἶναι τὰς ἡδονάς, κακὰ δὲ τὰς ἀνίας. Πλ. Γο. 498. [Vgl. Dornseiffen De artic. usu in praedicato.]

V. Substantivirungen durch den Artikel.

5. **Substantivirt** stehen mit dem Artikel (ohne zugehöriges Nomen) verbunden **Adverbia**, besonders des Raumes und der Zeit, vom Artikel regierte **Genitive**, **locale Dative** und **Präpositionen mit ihrem Casus**.

A. 1. Das **Masculinum** und **Femininum** des Artikels bezeichnen, so **gebraucht**, **Personen** und können, meist im Plural erscheinend, von **Adverbien** in der Regel nur die **localen** und **temporalen** annehmen. (Οὐ δι' ὀργῆς τὸν πέλας, εἰ καθ' ἡδονήν τι δρᾷ, ἔχομεν. Θ. 2, 37, 2. vgl. § 44, 1, 6.) Οἱ μὲν κακοὶ κακόν τι ἐργάζονται ἀεὶ τοὺς μάλιστα πλησίον ἑαυτῶν, οἱ δὲ ἀγαθοὶ ἀγαθόν. Πλ. ἀπ. 25, e. Τίμαιος οὐδενὸς ὕστερος ἦν τῶν ἐκεῖ. Πλ. Τί. 20, a. Οἵ τ' ἔνδον συνελαμβάνοντο καὶ οἱ ἐκτὸς κατεκόπησαν. Ξε. ἀν. 2, 5, 32. Τισσαφέρνης στρατηγὸς ἦν τῶν κάτω. Θ. 8, 5, 4. — Ἦσαν πολλοὶ τῶν πρότερον σπουδαῖοι. Δη. 20, 114. [vgl. z. Th. 1, 9, 1.] Τοῦτο καὶ τῶν νῦν εἰσὶν οἳ κατανενοήκασι καὶ τῶν πάλαι. Πλ. Πρω. 342, e. Σωκράτης ἀνὴρ τῶν τότε ἦν ἄριστος. Πλ. Φαίδ. 118. Οὐκ ἀμάρτυρον τὴν δύναμιν παρασχόμενοι τοῖς τε νῦν καὶ τοῖς ἔπειτα

θαυμασθησόμεθα. Θ. 2, 41, 2. Ὁ χρόνος ἅπαντα τοῖσιν ὕστερον φράσει. Εὐ. Αἰολ. 26.

A. 2. Ueber ὁ, ἡ mit dem Ge. § 47, 5, 2. Am gewöhnlichsten findet sich so der Ge. von reflexiven, nie der von persönlichen Pronominen. Ὁ μὴ αὑτοῦ φύσει, ἀλλ' ἄλλου, ἄνθρωπος δέ, οὗτος φύσει δοῦλός ἐστιν. Ἀρλ. πολ. 1, 2, 7.

A. 3. Der locale Dativ mit ὁ, ἡ findet sich in der Verbindung οἱ Μαραθῶνι u. ä. Τὰς ἀρετὰς ἐκείνας οἱ Μαραθῶνι καὶ Σαλαμῖνι παρέσχοντο οἱ ἡμέτεροι πρόγονοι. Δη. 19, 312.

[A. 4. Der Ac. τὸν ἐμέ, τὸν σέ, τὸν ἑαυτόν, (τοὺς ὑμᾶς) findet sich einige Male (besonders bei Platon), um die Begriffe ἐμέ ꝛc. als vorher erwähnte oder überhaupt kenntliche auszuzeichnen. [Vgl. Apollon. π. συντ. 1, 28 p. 65 u. Bekker An. p. 923.] Εὕρηκε τὸν ἕτερον, τὸν σέ, τὸν ἐμὲ τουτονί. Μέ. 463. Τὸν σὲ καὶ ἐμὲ καὶ Γοργίαν καὶ Φίληβον χρὴ συχνὰ χαίρειν ἐᾶν. Πλ. Φιλ. 59. Heindorf zu Plat. Soph. 51.]

A. 5. Von Präpositionen finden sich mit ὁ, οἱ verbunden besonders die welche ein Befinden in, bei oder eine Verbindung mit (auch Abhängigkeit von) dem Object bezeichnen. Eben so finden sich οἱ ἐκ, ἀπό, παρά τινος in räumlicher Bedeutung, so wie οἱ ἀπό (ἐκ) τινος Jemandes Nachkommen; außerdem temporale Formeln wie οἱ ἐπί τινος und οἱ κατά τινα die Zeitgenossen des —. Οἱ Ἀθηναῖοι ἐν τῷ δημοσίῳ σήματι θάπτουσι τοὺς ἐκ τῶν πολέμων, πλήν γε τοὺς ἐν Μαραθῶνι. Θ. 2, 34, 3 mit Kr.s Anm. Οἱ ἐν τῇ ἡλικίᾳ εὐέλπιδες ἦσαν. Θ. 6, 24, 2. Παραπλήσια οἱ ἐπὶ τῶν νεῶν ἔπασχον. Θ. 7, 71, 4. Ἥσσηντο οἱ ἐπὶ τῷ δεξιῷ κέρᾳ. Θ. 1, 50, 1. Οἱ πρὸς τοῖς Κερκυραίοις ἐπιβοηθοῦσιν. Θ. 3, 78, 2. Οἱ κατὰ τὸ στόμα ἔτι ἐλύπουν. Ξε. ἀν. 5, 2, 26. — Βασιλεὺς καὶ οἱ σὺν αὐτῷ διώκει, καὶ οἱ μετὰ Ἀριαίου οὐκέτι ἵστανται. Ξε. ἀν. 1, 10, 1. Τοῖς παρ' ἑαυτῷ παρήγγειλε θεῖν. Ξε. ἀν. 4, 3, 29. — Ὥσπερ αὐτοὶ ἀξιώσετε ἄρχειν τῶν ὑφ' ὑμῖν, οὕτω καὶ αὐτοὶ πειθώμεθα οἷς ἂν ἡμᾶς καθήκῃ. Ξε. Κυ. 8, 1, 4. — Ἧκον οἱ παρὰ τοῦ Νικίου. Θ. 7, 10. Πόλεμος ἐπ' Ἐρεχθέως ἐγένετο πρὸς τοὺς ἐκ τῆς ἐχομένης ἠπείρου πάσης. Ξε. ἀπ. 3, 5, 10. Πρὸς τοὺς ἀπὸ τοῦ Ὀλυμπιείου ἀντεπεξῄεσαν. Θ. 7, 37, 3. Vgl. 8 A. 14. — (Οὐκ ἔστι μείζων ἡδονὴ ταύτης πατρὶ ἢ σωφρονοῦντα καὶ φρονοῦντ' ἰδεῖν τινα τῶν ἐξ ἑαυτοῦ. Μέ. 628.) Οἱ ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος ἀτελεῖς ἦσαν. Δη. 20, 127. — Ἐχρῆν ἐπαινεῖν τοὺς ἐφ' αὑτῶν ἄνδρας χρηστοὺς γεγενημένους. Ἰσ. 9, 5. Ἀγησίλαος ἐκ παιδὸς ἐρασθεὶς εὐκλεὴς γενέσθαι ἔτυχε τούτου μάλιστα τῶν καθ' ἑαυτόν. Ξε. Ἀγ. 10, 4.

A. 6. Οἱ περί und οἱ ἀμφί mit dem Ac. einer Persönlichkeit bezeichnen auch die genannte Person mit ihren Umgebungen, (Begleitern, Genossen, Anhängern ꝛc.), ja auch die Person vorzugsweise. Vgl. z. Her. 9, 69. [Bloße Umschreibung dieser allein sind jene Formeln erst bei Spätern.] Οἱ ἀμφί τινα bedeutet auch der Genannte und ihm ähnliche Männer. Οἱ ἀμφί, περὶ Νικίαν στρατηγοί, πρέσβεις u. ä. ist zu übersetzen: N. und seine Mitfeldherren, Mitgesandten. Κῦρος προσεκυνεῖτο ὑπὸ τῶν ἀμφ' αὐτόν. Ξε. ἀν. 1, 8, 21. Οἱ ἀμφὶ Ἀριστοτέλην καὶ Μελάνθιον καὶ Ἀρίσταρχον ἐβούλοντο ὑφ' αὑτοῖς τὴν πόλιν ποιήσασθαι. Ξε. Ἑλ. 2, 3, 46. — Σοφίᾳ τινὶ ἡγοῦντο ταῖς πόλεσιν οἱ ἀμφὶ Θεμιστοκλέα. Πλ. Μέν. 99. — Ἐπέστη ὁ Κῦρος σὺν τοῖς περὶ αὐτόν. Ξε. ἀν. 1, 5, 7. Οἱ περὶ Ἀριαῖον ἧττον τοῖς Ἕλλησι προσεῖχον τὸν νοῦν. Ξε. ἀν. 2, 4, 2. Ἐτύγχανον οἱ περὶ τὸν Ἑρμοκράτην στρατηγοὶ ἄρτι τὴν ἀρχὴν παρειληφότες. Θ. 6, 96, 3.

A. 7. Formeln wie οἱ ἀπό, ἐκ Φυλῆς die von Phyle (gegen die Dreißig Ausgezogenen) haben sich, gleichsam nachwirkend, stereotyp erhalten, auch wo der genannte Platz nicht mehr als Aufenthaltsort der Personen zu denken ist. Θρασύβουλος τῶν ἐκ Πειραιῶς καὶ ἀπὸ Φυλῆς ἦν. Δη. 24, 134. Vgl. z. Th. 5, 15, 1.

A. 8. Außer den A. 5 angegebenen Verbindungen findet sich nur sehr Vereinzeltes der Art, wie οἱ διὰ πλείστου die Entferntesten Thuk. 4, 115, 3. vgl. 6, 11, 4. Ueber οἱ διὰ μέσου zu 8, 75, 1. Namentlich sind unstatthaft Ausdrücke wie οἱ παρά, εἰς, πρός, ἐπί τινα für οἱ παρά ꝛc. τινα πεμφθέντες. Doch steht οἱ εἰς τριάκοντα ἔτη Xe. An. 7, 3, 46, οἱ μέχρι τῆς λίμνης Her. 5, 15 (ἡ μέχρι Μαλεῶν 1, 82, 1. 7, 108). Ausdrücke wie οἱ ἄνευ σοῦ ꝛc. ließen sich eher denken als belegen. Nicht selten ist τὰ μέχρι Βοιωτίας ꝛc. [zu Th. 8, 43, 4. 96, 3. vgl. 6, 31, 1 E.]

A. 9. Ueber den elliptischen Gebrauch des ὁ, ἡ § 43, 3, 4. 5. Auch bei Schwüren setzt man zuweilen bloß μὰ τόν, indem man den Namen der Gottheit aus irgend einem Bedenken zurückhält. Μὰ τὸν-ἐγὼ μὲν οὐκ ἂν ἐπειθόμην. Ἀρ. βά. 1374. In einem andern Casus folgt mit umgewandelter Fügung dem Artikel sein Nomen. Dem. 18, 20: συνηγωνίσατο Φιλίππῳ ἡ τῶν ἄλλων Ἑλλήνων εἴτε χρὴ κακίαν εἴτε καὶ ἀμφότερα ταῦτ' εἰπεῖν.

A. 10. Das substantivirte Neutrum des Artikels erscheint nicht bloß mit Adverbien des Raumes und der Zeit, sondern im Singular auch mit andern. Ueber den Plu. § 43, 4, 2 ff. Ἀστρονομία ἀναγκάζει ψυχὴν εἰς τὸ ἄνω ὁρᾶν καὶ ἀπὸ τῶν ἐνθένδε ἐκεῖσε ἄγει. Πλ. πολ. 529. Διέβη εἰς τὸ πέραν. Ξε. Ἑλ. 1, 3, 17. Μουσικὴ καταδύεται εἰς τὸ ἐντὸς τῆς ψυχῆς. Πλ. πολ. 401, e. Δεῖ γυναῖκα σώζειν τὰ ἔνδον. Πλ. Μέν. 71, e. — Οὐ πορευόμενόν γε ἐκ τοῦ ποτὲ εἰς τὸ ἔπειτα ὑπερβήσεται τὸ νῦν. Πλ. Παρ. 152. Ῥᾷον ἠμύναντο ἢ ἐν τῷ πρίν. Θ. 4, 35, 3. — Τὸ λίαν ἧσσον ἐπαινῶ τοῦ μηδὲν ἄγαν. Εὐ. Ἱπ. 264. — Ὁ πένης τοῦ εὖ τητώμενος οὐκ οἶδεν ἀεὶ δυστυχῶν κακῶς τ' ἔχων. Εὐ. Βελλ. 20, 16. Τὴν ὀρθότητα καὶ τὴν ὠφέλειαν καὶ τὸ εὖ καὶ τὸ καλῶς ἡ ἀλήθειά ἐστιν ἡ ἀποτελοῦσα. Πλ. νό. 667. Τὸ φανερῶς τοῦ λάθρᾳ κρεῖττον. Δη. 20, 74. Τὰς ἡδονὰς τῷ σφόδρα καὶ τῷ μᾶλλον ὑπερεχούσας ὁρᾷς. Πλ. Φίλ. 45.

A. 11. Ueber τό, τά mit dem Ge. § 47, 5, 9—11. Sehr selten erscheinen sie bei einem Da. Πᾶσα πόλις φύσει ἐστίν· — φανερὸν ὅτι τῶν φύσει ἡ πόλις ἐστίν. Ἀρλ. πολ. 1, 1, 8. 9. Οἱ δοῦλοι οὐ τὰ ἐρωτώμενα λέγουσιν ἀλλὰ τὰ κύκλῳ. Ἀρλ. ῥητ. 3, 14.

A. 12. Die Substantivirung des τό und τά mit Präpositionen ist noch viel ausgedehnter als die des Masc. (und Fem.), hin und wieder sogar bei dem Verhältnisse der Richtung vorkommend. [Περιέπλευσαν ἐς τὸ πρὸς Σκιώνης. Θ. 4, 130, 1. Ἀφεὶς τὸ ἐς τὴν Χίον ἔπλει ἐς τὴν Καῦνον. Θ. 8, 41, 1. Ἡ ἰσομοιρία τῶν κακῶν ἔχει τινὰ τὸ μετὰ πολλῶν κούφισιν. Θ. 7, 75, 6. zu 2, 89, 3. 7, 75, 6.] Τὸ μετὰ τοῦτο διέλθωμεν. Πλ. πολ. 489, e. Ὁ δῆμος χαλεπῶς ἔφερε τὸ περὶ τῆς ὀλιγαρχίας. Θ. 8, 54, 1. Χαλεπώτατον τὸ περὶ τοὺς λόγους. Πλ. πολ. 498, a. Ὁ πόλεμος ὑφελὼν τὴν εὐπορίαν τοῦ καθ' ἡμέραν βίαιος διδάσκαλος. Θ. 3, 82, 2. Τῷ παρ' ἐλπίδα μὴ χαλεπῶς σφαλλέσθω. Θ. 4, 62, 2. — Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον. Εὐ. ἀποσ. ἄδ. 21. Στρέφει δὲ πάντα τὰν βίῳ μικρὰ τύχη. Μέ. μο. 712. Νέοι γίγνεσθε οὐδὲν εἰδότες οὔτε τῶν τῇδε οὔτε τῶν παρ' ὑμῖν. Πλ. Τί. 23. Ἐν τοῖς περὶ τοῦ πολέμου ἄτακτα ἅπαντα. Δη. 4, 36. Τὰ περὶ τὸν πόλεμον τῆς εἰρήνης ἕνεκα δεῖ εὖ τίθεσθαι. Πλ. νό. 803. Γυναῖκες τά γ' εἰς γάμους οὐδὲν δοκοῦσιν ὑγιὲς ἀνδράσιν φρονεῖν. Εὐ. Μελα. 18.

A. 13. Auch wenn Ausdrücke wie τὸ νῦν, τὸ ἐκ τοῦδε und eben so adjectivische, wie τὸ ἀρχαῖον, τὰ λοιπά, als Ac. der § 46, 3, 2 erwähnten Art gebraucht werden, hat der Artikel seine Bedeutung. So ist τὸ νῦν so v. a. τὸν νῦν χρόνον, die Gegenwart als ein für sich Bestehendes und Vollständiges betrachtet im ausgesprochenen oder gedachten Gegensatze zu einem andern Zeitraume. Bei dem Plural τά (νῦν, τότε ꝛc.) wird an eine Mehrheit von Erscheinungen gedacht. Dies ist auch auf locale Ac. der Art anzuwenden. Ἐμάχοντο περὶ τῆς ἰδίας ἕκαστος τὸ μὲν αὐτίκα σωτηρίας, τὸ δὲ [ἐς δὲ τὸ?] μέλλον ἐλευθερίας. Θ. 6, 69, 4. Ἐκείνους ἐδίδασκε κελεύων λέγειν τὰ μὲν ἀπὸ

(ἐκ) τοῦ παραχρῆμα, τὰ δὲ βουλευσαμένους. Ξε. Ἑλ. 1, 1, 30. Ἐμέ τις καὶ πάλαι καὶ τὰ νῦν ἡττημένον ἂν εὕροι. Πλ. σοφ. 239. Τὸ πάλαι τύραννος ὁ Ἔρως λέγεται. Πλ. πολ. 573. Πᾶς ποιητὴς γίγνεται, κἂν ἄμουσος ᾖ τὸ πρίν, οὗ ἂν Ἔρως ἅψηται. Πλ. συ. 196 e. Τί χρὴ ποιεῖν τὸ ἐκ τοῦδε; Ξε. Κυ. 5, 5, 43. [Ueber τὸ ἀπὸ τοῦδε zu Th. 4, 114, 5.] — Οἱ Τημενίδαι τὸ ἀρχαῖον ἦσαν ἐξ Ἄργους. Θ. 2, 99, 2. Ἡμῶν ἡ πόλις τὸ μὲν παλαιὸν ὑπὸ τῶν τυράννων κατεδουλώθη, τὸ δ' ὕστερον ὑπὸ τῶν τριάκοντα. Λυκ. 61. Οἱ τὰ πρῶτα ἐξηπατημένοι τὰ λοιπὰ οὐ πιστεύσουσιν αὐτῷ. Δη. 2, 8. Σικανοὶ οἰκοῦσι τὰ πρὸς ἑσπέραν τὴν Σικελίαν. Θ. 6, 2, 3. Ἡ πόλις εἰρήνην τὰ περὶ τὴν χώραν ἄγει. Ἰσ. 7, 1.

6. **Mit dem Infinitiv, der schon an sich substantivartig ist, verbindet sich der Singular des Artikels τό in allen Casus. Die eigenschaftliche Bestimmung die etwa hinzutritt ist ein Adverbium; von Pronominaladjectiven jedoch das Neutrum, namentlich *αὐτό*. Eben so können *τοῦτο, ταῦτα* 2c. auf Infinitive zurückweisen. Ueber die Ankündigung eines Infinitivs durch *τοῦτο* 2c. § 51, 7, 4 u. 57, 10, 7. *Τὸ κολάζεσθαι τῇ ψυχῇ ἄμεινόν ἐστιν ἢ ἡ ἀκολασία. Πλ. Γο.* 505. *Καλοῦσιν ἀκολασίαν τὸ ὑπὸ τῶν ἡδονῶν ἄρχεσθαι. Πλ. Φαίδ.* 69. *Τὸ λέγειν ὡς δεῖ τοῦ φρονεῖν εὖ μέγιστον σημεῖον ποιούμεθα. Ἰσ.* 3, 7. *Ἐλπίδι τὸ ἀφανὲς τοῦ κατορθώσειν ἐπέτρεψαν. Θ.* 2, 42, 3. [zu 4, 126, 5.] *Νίκησον ὀργὴν τῷ λογίζεσθαι καλῶς. Μέ. μο.* 381. — *Ἥδεται ὁ σωφρονῶν αὐτῷ τῷ φρονεῖν. Πλ. Φιλ.* 12. *Τὸ τῇ ἐπιμελείᾳ περιεῖναι τῶν φίλων καὶ τῷ προθυμεῖσθαι χαρίζεσθαι ταῦτα ἔμοιγε μᾶλλον δοκεῖ ἀγαστὰ εἶναι. Ξε. ἀν.* 1, 9, 24.**

A. 1. Einen Genitiv kann der Infinitiv, auch wenn durch τό substantivirt, nicht regieren, außer dem Falle § 47, 10, 2. Als Object hat der substantivirte Inf. den Casus, welchen sein Verbum an sich regiert. (Ueber das Subject und Prädicat beim Infinitiv § 55, 2.) Οἱ πολλοὶ ὡρμηκότες ἐπὶ τὸ σκοπεῖν τὰ τῶν ἄλλων πράγματα οὐ τρέπονται ἐπὶ τὸ ἑαυτοὺς ἐξετάζειν. Ξε. ἀπ. 3, 7, 9. Τῶν ἀρχόντων οἵτινες ἂν τοῖς πολίταις αἰτιώτατοι ὦσι τοῦ τοῖς νόμοις πείθεσθαι, οὗτοι ἄριστοί εἰσιν. Ξε. ἀπ. 4, 4, 15. Ἀγησίλαος οὐχ οὕτως ἐπὶ τῷ ἄλλων βασιλεύειν ὡς ἐπὶ τῷ ἑαυτοῦ ἄρχειν ἐμεγαλύνετο. Ξε. Ἀγ. 10, 2. (Nach dem Artikel kann auch ein hypothetischer, relativer oder temporaler Satz eingeschoben werden, wie Dem. 18, 95. 19, 44, Xen. Oik. 13, 6.)

A. 2. Uebersetzen müssen wir den durch τό substantivirten Inf., besonders die obliquen Casus, oft durch Conjunctionen und entsprechende Sätze z. B. τό — dies daß —, τῷ — dadurch daß —, διὰ τό — deßhalb weil —, ἐκ τοῦ — daraus daß —, ἐπὶ und πρὸς τό — dazu daß —, um zu —, ἐπὶ τῷ — darüber daß, dazu daß — 2c. Τῶν ἀνθρώπων οἱ πλεῖστοι κτῶνται μὲν τἀγαθὰ τῷ καλῶς βουλεύεσθαι καὶ μηδενὸς καταφρονεῖν, φυλάττειν δ' οὐκ ἐθέλουσι τοῖς αὐτοῖς τούτοις. Δη. 20, 50. Τὰ πλείω τῶν πραγμάτων ὑμᾶς ἐκπέφευγε τῷ μὴ βούλεσθαι τὰ δέοντα ποιεῖν, οὐ τῷ μὴ συνιέναι. Δη. 3, 3. Διὰ μὲν τὸ εἰδέναι ἑαυτοὺς πλεῖστα ἀγαθὰ πάσχουσιν οἱ ἄνθρωποι, διὰ δὲ τὸ ἐψεῦσθαι ἑαυτῶν πλεῖστα κακά. Ξε. ἀπ. 4, 2, 26. Σωκράτης ἐτεκμαίρετο τὰς ἀγαθὰς φύσεις ἐκ τοῦ ταχύ τε μανθάνειν οἷς προσέχοιεν, καὶ μνημονεύειν ἃ [ἂν] μάθοιεν. Ξε. ἀπ. 4, 1, 2. Ἆρ' ἤδη τοῦθ' ἱκανὸν πρὸς τὸ εὐδαίμονα ποιῆσαί τινα, τό, τε κεκτῆσθαι τἀγαθὰ καὶ τὸ χρῆσθαι αὐτοῖς; Πλ. Εὐθύδ. 280. Οἱ ἄποικοι οὐκ ἐπὶ τῷ δοῦλοι ἀλλ' ἐπὶ τῷ ὁμοῖοι εἶναι τοῖς λειπομένοις ἐκπέμπονται. Θ. 1, 34, 1. Αἰσχρὸν τοὺς ἐμπόρους τοιαῦτα πελάγη διαπερᾶν ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν, τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ γῆν πορείας ὑπομένειν ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν αὐτῶν διάνοιαν. Ἰσ. 1, 19.

A. 3. Entbehren kann der substantivirte Infinitiv den Artikel

nur als Nominativ oder Accusativ, nie wenn er von einer Präposition abhängt. [Doch ἀντὶ ἄρχεσθαι Her. 1, 210, 2 vgl. 6, 32. 7, 170, 2? wo aber ἀντί mehr adverbial wäre.] Wenn er fehlt, so drückt der Infinitiv die reine Idee des Verbums aus, eine bloß gedachte, z. B. mögliche, vorausgesetzte, nothwendige Handlung bezeichnend, oft unser wenn man —. Der Artikel dem Infinitiv beigefügt hat eine seiner gewöhnlichen Bedeutungen: er kann auf eine vorhergegangene Aeußerung zurückweisen (vgl. 2, 6), kann etwas als ein Notorisches bezeichnen (2, 1) oder auch die Idee als objectivirte Erscheinung vorstellen (3, 3 vgl. Plat. Gorg. 451, e). Τὰ δύο πάθη περὶ θεοὺς ἔμεινέ τισι, τὸ τοὺς θεοὺς εἶναι μέν, φροντίζειν δὲ οὐδὲν τῶν ἀνθρωπίνων. Πλ. νό. 888. Τὸ εἴργειν ἐστὶν ἀφ' ὧν ἡ ψυχὴ ἐπιθυμεῖ κολάζειν. Πλ. Γο. 505. Καλῶς ὁ ποιητικὸς λόγος ὑμνεῖται, τὸ χαλκᾶ καὶ σιδηρᾶ δεῖν εἶναι τὰ τείχη μᾶλλον ἢ γήινα. Πλ. νό. 778. Εὖ λέγεται τὸ θεοὺς εἶναι ἡμῶν τοὺς ἐπιμελομένους. Πλ. Φαίδ. 62. — Ὁ ἐπιεικὴς ἀνὴρ τῷ ἐπιεικεῖ τὸ τεθνάναι οὐ δεινὸν ἡγήσεται. Πλ. πολ. 378. Τὸ γυναῖκ' ἔχειν εἶναί τε παίδων Παρμένων πατέρα μερίμνας τῷ βίῳ πολλὰς φέρει. Μέ. 622. Ἔστιν τὸ τολμᾶν ὦ φίλ' ἀνδρὸς οὐ σοφοῦ. Μέ. μο. 175. Μεγάλη δήπου καὶ τὸ ἐξαμαρτεῖν δυςπραξία ἐστίν, ἀλλ' ἔστιν ἐν τῷ κοινῷ πᾶσιν ἀνθρώποις καὶ ἐξαμαρτεῖν τι καὶ κακῶς πρᾶξαι. Ἀνδ. 2, 5. 6. — Μακάριόν ἐστιν υἱὸν εὔτακτον τρέφειν. Μέ. 342. Πόλεώς ἐστι θάνατος ἀνάστατον γενέσθαι. Λυκ. 61. — (Ἔστιν ἡ μὲν εὐμαθία ταχέως μανθάνειν, ἡ δὲ δυςμαθία ἡσυχῇ καὶ βραδέως. Πλ. Χαρ. 159. Nicht leicht ohne Artikel erscheint der Inf. als Subject einer Handlung. Vgl. Plat. Rep. 606 u. z. Th. 3, 38, 1.)

A. 4. Regelmäßig ohne Artikel erscheint der Infinitiv in Verbindung mit mehreren als Prädicat gebrauchten Substantiven, wie ὥρα, καιρός, ἀκμή, σχολή, ἀνάγκη, ἐλπίς, κίνδυνος ꝛc. (ἐστί, γίγνεται). Vgl. § 55, 3, 1. Ὥρα σε θυμοῦ κρείσσονα γνώμην ἔχειν. Εὐ. Τηλ. 24. Ἐμοὶ δοκεῖ οὐχ ὥρα εἶναι ὑμῖν καθεύδειν. Ξε. ἀν. 1, 3, 11. Οὐκ ἔστ' ἔτ' ὀκνεῖν καιρός, ἀλλ' ἔργων ἀκμή. Σο. Ἠλ. 22. Σοὶ ἀκμὴ φιλοσοφεῖν. Ἰσ. 1, 3. Οὐ σχολὴ κάμνειν. Πλ. πολ. 406. Φέρειν ἀνάγκη τὰς παρεστώσας τύχας. Εὐ. Ὀρ. 1024. Ἐλπὶς ἐν τοῖς πολλοῖς ὄντα τυχεῖν τὸν ἄξιον τῆς σῆς φιλίας. Πλ. Φαῖδ. 231. [Elmsley zu Eu. Med. 750]. Τοῖς Ἕλλησι φόβος ἦν ἐπὶ βασιλέα στρατεύειν. Ξε. ἀν. 2, 4, 3. Οὐ σμικρὸς κίνδυνός ἐστιν ἐξαπατηθῆναι. Πλ. Κρατ. 436. Τοὺς Ἀθηναίους πλεονεκτεῖν πολλὴ ξυγγνώμη. Θ. 4, 61, 4. Αὐτὸν εὖ ποιεῖν παντὶ ξυγγνώμη. Ξε. Ἀθ. π. 2, 20. Ἀρχαῖός ἐστι νόμος κάλλιστος τοῖς μὴ ἔχουσι διδόναι τὸν βασιλέα. Ξε. ἀν. 7, 3, 28. (Κατὰ τὴν ἀγορὰν ἀψευδεῖν νόμος γέγραπται. Δη. 20, 9.) Vgl. Reg. z. Th. u. Infinitiv 2.

(A. 5 Doch kann der Infinitiv auch in solchen Verbindungen den meist leicht erklärlichen Artikel annehmen. Wo das Substantiv den Artikel hat ist es doppelt zu denken: ὁ καιρὸς οὐχὶ μέλλειν = ὁ καιρὸς οὐ καιρὸς μέλλειν. Τὸ μὴ μέλλειν ἀκμή. Αἰσ. Ἀγ. 1353. Τὸ κατασχεῖν ἐστὶ τὴν ὀργὴν πόνος. Φιλή. 157 u. Μέ. 811. Τὸ μὴ πείθεσθαι τοῖς λεγομένοις τοὺς πολλοὺς θαῦμα οὐδέν. Πλ. πολ. 498. — Οὐκ ἐπιτήδειος ὁ καιρὸς ἐφησθῆναι. Δη. 15, 21. Ὁ νόμος τοῖς Ἕλλησι μὴ κτείνειν τοὺς χεῖρας προϊσχομένους. Θ. 3, 58, 2. Τίμησίν μοι ἐποίησαν, τοῦ νόμου κειμένου τὸν ἀποκτείνοντα ἀνταποθανεῖν. Ἀντ. 5, 10. Vgl. z. Th. 1, 137, 2. 2, 45, 2. 97, 4. 3, 58, 1. 2. 66, 2.)

A. 6. So findet sich der Infinitiv ohne Artikel auch wenn das Substantiv in einer Redensart eintritt der ein einfaches Verbum das den Infinitiv bei sich haben kann synonym ist, z. B. δόγμα ποιεῖσθαι wie ψηφίζεσθαι (Xen. An. 3, 3, 5), κώλυμα γίγνεται wie κωλύει τι [z. Th. 1, 16], δεξιὰν δίδωμι ich versprecheindem ich die Rechte darauf gebe (Xen. A. 2, 5, 3 vgl. 4, 1) ꝛc. Τὸ φῶς ἀνάγκην προστίθησι σωφρονεῖν (= ἀναγκάζει σ.). Εὐ. Μελέ. 22. Πανταχόθεν ὠφελεῖσθαι ἐξουσίαν τοῖς αὐτῇ ξυνοῦσι κακία παρέχει. Ξε. ἀπ. 2, 1, 25. Γνώμην εἶχον μὴ ἐκπλεῖν. Θ. 2, 86, 3.

θανόντι κείνῳ συνθανεῖν ἔρως μ' ἔχει. Σο. ἀποσ. 690. Ἄσμενοι ἔλαβον πρόφασιν στρατεύειν. Ξε. Ἑλ. 3, 5, 5. Ἡσυχίαν ποιοῦσιν ἐκείνῳ πράττειν ὅ, τι βούλεται. Δη. 8, 52. — Δέδοικα μὴ πολλὰ καὶ χαλεπὰ εἰς ἀνάγκην ἔλθωμεν ποιεῖν. Δη. 1, 15. Ἐγένετο ἐν ἐλπίδι τροπὴν τῶν ἀνδρῶν ποιήσασθαι. Ξε. 5, 4, 43. — Ἐπεγένετο ἄλλοις ἄλλοθι κωλύματα αὐξηθῆναι. Θ. 1, 16. Ἐν τῇ ὑμετέρᾳ πόλει ἄδεια ὑπὲρ τῶν ἐχθρῶν λέγειν δέδοται. Δη. 8, 64. — [Φόβῳ ἃ μὴ χρῆν εἰςορᾶν καθήμεθα. Εὐ. Ἰφ. Τ. 1342.] Vgl. Reg. z. Th. u. Infinitiv 2 u. 55, 3, 13.

A. 7. Bei αἴτιος und ἄξιός (ἐστι) findet sich (neben τοῦ mit dem Infinitiv auch) der bloße Infinitiv als Ac. nach der Analogie von αἴτιός τι, οὐδὲν ἄξιος § 57, 26, 13. Ἡ τύχη καὶ ἄλλοις πολλοῖς ἀνθρώπων αἰτία ἐστὶν ἀποθανεῖν. Ἀντ. 6, 15. Ἄξιοί ἐσμεν ἀπολαῦσαί τι ἀγαθόν. Ξε. Κυ. 5, 4, 20. [z. Th. 1, 74, 1 u. Xe. An. 6, 4, 8. Nothwendig war τοῦ 7, 7, 48.]

(A. 8. Als Ac. kann τό mit dem Infinitiv nicht bloß wie jeder andere Ac. von einem Verbum regiert werden, selbst bei doppeltem Ac., sondern auch als Ac. des Bezuges (§ 46, 3, 3 vgl. 4 A. 4) eintreten. Τὸ προθυμεῖσθαι συναύξειν τὸν οἶκον ἐπαιδεύομεν τὴν ταμίαν. Ξε. οἰκ. 9, 12. Αὐτὸ τοῦτό ἐστι χαλεπὸν ἀμαθία, τὸ μὴ ὄντα καλὸν κἀγαθὸν μηδὲ φρόνιμον δοκεῖν αὑτῷ εἶναι ἱκανόν. Πλ. συ. 204. a. Τὸ προσταλαιπωρεῖν τῷ δόξαντι καλῷ οὐδεὶς πρόθυμος ἦν. Θ. 2, 53, 2. Vgl. zu 2, 53, 2 u. Dial. Sy. § 50, 6, 6 u. 55, 3, 19.)

[A. 9. Epithetisch gebraucht kann der Infinitiv, wie nicht minder Sätze, auch mit dem Artikel des vorhergehenden Substantivs diesem angefügt werden. Καλὴν ἔφη παραίνεσιν εἶναι τὴν κατὰ δύναμιν ἔρδειν. Ξε. ἀπ. 1, 3, 3. Τὸν νόμον ἐτίθεσαν τὸν ἐξεῖναι τὰ ἑαυτοῦ διατίθεσθαι. Πλ. νό. 922, e. Ἦσαν οὗτοι ἄνθρωποι τῶν πρὶν Μούσας γεγονέναι. Πλ. Φαῖδ. 259. Ἰφικράτης ἔφη χειρίστην φωνὴν στρατηγοῦ εἶναι τὴν οὐκ ἂν προςεδόκησα. Στ. 54, 51. Μεγίστην ἀμαθίαν τὴν τοιάνδε τίθεμαι. Ποίαν; Τὴν ὅταν τῴ τι δόξαν καλὸν ἢ ἀγαθὸν εἶναι μὴ φιλῇ τοῦτο, ἀλλὰ μισῇ. Πλ. νό. 689, a.]

A. 10. Wie den Infinitiv kann der Artikel τό auch ganze Sätze, selbst Perioden substantiviren. Τὸ γνῶθι σαυτὸν πανταχοῦ 'στι χρήσιμον. Μέ. μο. 730. Τὸ λίαν ἧσσον ἐπαινῶ τοῦ μηδὲν ἄγαν. Εὐ. Ἱπ. 264. Ἔχει πολλὴν διαφορὰν τὸ τίνος χάριν πράττει τις ἢ μανθάνει. Ἀρλ. πολ. 8, 2, 2. Αἱ ἀναγκαῖαι χρεῖαι τοὺς τοῦ τί πρακτέον ἢ μὴ λογισμοὺς ἀναιροῦσιν ἅπαντας. Δη. 23, 148. Οὐ περὶ τοῦ ἐπιτυχόντος ὁ λόγος ἀλλὰ περὶ τοῦ ὅντινα τρόπον χρὴ ζῆν. Πλ. πολ. 352. Τὸ ἐὰν μένητε παρ' ἐμοί, ἀποδώσω, εὖ ἴστε αἰσχυνοίμην ἂν εἰπεῖν. Ξε. Κυ. 5, 1, 20.

A. 11. Das Neutrum des Artikels kann jedes Wort und jede Wort- oder Redeform, auch Sätze oder Satzstücke, substantiviren, in sofern dieselben stoffartig bloß als Ausdrücke betrachtet werden. Τὸ οὐδέτερον, λέγω τὸ τό, ἀπὸ τοῦ τ' ἄρχεται. Ἀπολλ. συντ. 1, 8 p. 110. Τὸ ἄλφα σημαίνει πολλαχοῦ τὸ ὁμοῦ. Πλ. Κράτ. 405. Τὸ μὲν ἄνθρωπος ἢ λευκὸν οὐ σημαίνει τὸ πότε, τὸ δὲ βαδίζει προςσημαίνει τὸν παρόντα χρόνον. Ἀρλ. ποιητ. 1, 20. Τὸ ὀρθῶς τοῦτο λόγου δεῖται. Πλ. πολ. 449. Τὸ ὑμεῖς ὅταν λέγω, τὴν πόλιν λέγω. Δη. 18, 88. Ἐν τῷ μηδένα πάντας περιλαμβάνει. Δη. 20, 29. Ἀκολουθεῖ τῷ καθ' ἕκαστον καὶ τὸ πάντας. Ἀρλ. πολ. 7, 12, 5. Οὐ δέομαι τὸ εἰ βούλει τοῦτο καὶ εἰ δοκεῖ ἐλέγχεσθαι. Πλ. Πρω. 331.

A. 12. Die Grammatiker [Aristot. Rhet. 3, 5 A.] erlaubten sich auch, wenn sie ein Wort, als einer Wortklasse angehörig erwähnen, bloß ὁ, ἡ, τό vorzusetzen und das Substantiv ergänzen zu lassen, wie ὁ μέν für ὁ μέν σύνδεσμος die Conjunction μέν. Πρὸς τὸ ὑπακουόμενον ἔξωθεν τὸ ἄρθρον ἀνατείνεται ὁ μέν προτακτικός ἐστι τοῦ δέ· ἀνάγεται γὰρ πρὸς τὸ σύνδεσμος. Ἀπολλώνιος συντ. 1, 4 p. 27. Ἡ ἐκεῖνος καὶ ἡ οὗτος οὐκ ἐνεκλίθησαν. Ἀπολλ. συντ. 2, 18 p. 140. Ἀπεκδεχόμεθα τὰς συμβολικὰς φωνάς, λέγω τὴν οὔ καὶ τὴν

ναί. — Τὸ γράφω οὐκ ἐλλιπές ἐστι τῆς ἐγώ ἀντωνυμίας. Ἡ οὔ ἀπόφασις ἀναιροῦσα τὰ ὁριστικὰ ἀποφάσκει. Ἀπολλώνιος. 2, 12 p. 132.

A. 13. Nomina werden stoffartig (A. 11) auch mit dem geschlechtlichen Artikel gebraucht; ohne Artikel gew. nur **Eigennamen**: (ὁ) Σωκράτης **der Name, das Wort Sokrates**. Παρὰ τὸ τοῦ ἔρωτος ὄνομα, ὅθεν γεγόνασιν οἱ ἥρωες, σμικρὸν παρηγμένον ἐστὶν ὀνόματος χάριν. Πλ. Κράτ. 398. Ὁ ἀλαζὼν ἔμοιγε δοκεῖ ὄνομα κεῖσθαι ἐπὶ τοῖς προςποιουμένοις καὶ πλουσιωτέροις εἶναι ἢ εἰσιν καὶ ἀνδρειοτέροις. Ξε. Κυ. 2, 2, 12. Προςέκειτο ὁ καλὸς τῷ ἀγαθῷ. Ξε. οἰκ. 6, 15. Πόσα καὶ ποῖα γράμματα Σωκράτους ἐστίν; Ξε. ἀπ. 4, 4, 7.

VI. Appositiver und attributiver Gebrauch des Artikels.

7. Bei synthetischer Apposition (§ 57, 6) eines Appellativs (*προσηγορικόν*) zu einem Eigennamen ist der Gebrauch des Artikels im Allgemeinen vorherrschend, jedoch nicht ohne mannigfaches Schwanken bei einzelnen Verbindungen.

A. 1. Bei ποταμός ist es fast regelmäßig diesem Worte den Namen mit dem Artikel vorzustellen: ὁ Εὐφράτης ποταμός **der Euphratstrom** [Kr. Anal. 1 S. 151 f.]; ὁ ποταμὸς ὁ — bei Thuk. 7, 80, 3 u. 82, 3, öfter bei Spätern. Gänzliche Weglassung des Artikels ist häufig bei Her.; bei Thuk. 1, 16. 100, 1. 2, 97, 1. 4, 102, 1. 6, 4, 1, jedoch wie bei Isokr. 7, 80 in Verbindung mit Präpositionen vgl. 12, 59. Dagegen kann Th. 1, 46, 3 und Xen. An. 5, 3, 8 erklärt werden **ein Fluß** (Namens) —. (Ὁ Κέρβερος κύων 5, 10, 2?)

A. 2. Aehnlich sagte man bei ὄρος z. B. τὸ Αἰγάλεων ὄρος [z. Th. 2, 19, 2. vgl. 3, 106, 2]; daneben aber, besonders wo die Verschiedenheit der Form dieser Weise widerstrebte, Πάρνης τὸ ὄρος [4, 96, 5], ἡ Αἴτνη τὸ ὄρος [4, 116, 1], τὸ ὄρος ἡ Ἰστώνη [zu 4, 46, 1], auch ohne Artikel z. B. ἐκ Πίνδου ὄρους [2, 102, 2]. Eben so ἡ Βόλβη λίμνη [1, 58, 2. 4, 103, 1], ἡ λίμνη ἡ — [z. Her. 2, 4, 2], ἡ Λευκίμμη τὸ ἀκρωτήριον, ἡ ἄκρα τὸ Χειμέριον [z. Th. 1, 46, 3]; ἐπί, ἐς, πρὸς ἄκραν Ἰαπυγίαν; deßgleichen Τραγία ἡ νῆσος [1, 116, 1 vgl. 4, 13, 2 u. zu 1, 109, 2], seltener (weil νῆσος seltener zu betonen ist) ἡ νῆσος ἡ Σφακτηρία [z. Th. 4, 8, 4. vgl. Her. 8, 76, 1. 2]. Aehnlich φοίνικες τὰ δένδρεα Her. 2, 169, 3.]

A. 3. Selten findet sich so πόλις, zw. ἡ [Μένδη] πόλις Thuk. 4, 130, 4 u. τὸ Παρθένιον πόλισμα Xe. An. 7, 8, 21, ἡ Σολύγεια κώμη Th. 4, 43, 1 u. 3? ἡ Πλατέα νῆσος Her. 4, 169, wie Spätere, wie Diod. 13, 75, ꝛc. [z. Arr. 1, 19, 9], vgl. ἡ Τεύτλουσσα νῆσος Th. 8, 42, 3 vgl. z. Arr. 1, 19, 9 u. ἡ [νῆσος] Δῆλος Her. 1, 64 vgl. dort Kr.; durch die analogen Beispiele A. 1. 2. 3 geschützt ἡ πόλις οἱ Ταρσοί Xen. An. 1, 2,26; ferner Ἡράκλεια ἡ ἐν Τραχῖνι πόλις Thuk. 3, 100, 1, Ἴνησσα τὸ Σικελικὸν πόλισμα 3, 103, 1 vgl. 4, 54, 4, ἡ Λήκυθος τὸ φρούριον 4, 113, 1 vgl. 2, 94, 2, τὸ φρούριον τὸ Λάβδαλον 7, 3, 4, τὸ χωρίον αἱ Ἐννέα ὁδοί 1, 100, 3. Ohne Artikel ἔχει Ἀνθήνην πόλιν **eine Stadt** A. 5, 41, 1, mit einer Präposition 1, 104, 1. 2, 102, 2 vgl. z. Her. 1, 105, 1. 168. 4, 151. Ueber die Spätern Reg. z. Arr. u. πόλις u. νῆσος.

A. 4. Hieher gehört auch der feste Ausdruck ἡ βουλὴ οἱ πεντακόσιοι **der Rath der Fünfhundert**. Καθίστασιν τὴν βουλήν, ὥσπερ καὶ πρότερον, τοὺς πεντακοσίους. Θ. 8, 86, 4.

A. 5. Aehnlich findet sich die Verdoppelung des Artikels bei ὄνομα u. ä. Wörtern: ἡ Τηθὺς τὸ ὄνομα, τὸ ὄνομα ὁ Μακάρτατος, wobei aber der Artikel fehlen kann, in sofern keine Anaphora vorliegt. [Her. 6, 53, 1.] Ἐκ τούτων τῶν ὀνομάτων ἡ Τηθὺς τὸ ὄνομα ξύγκειται. Πλ. Κρατ. 402. Τί ποτε νοεῖ

τὸ ὄνομα οἱ δαίμονες; Πλ. Κρατ. 397. Τίνες ἔχουσι τὸ σεμνὸν ὄνομα τοῦτο τὸ καλὸς κἀγαθός; Ξε. οἰκ. 6, 14. Μεταλάβωμεν τὰ ὀνόματα πάλιν τὸ ἡδύ τε καὶ ἀνιαρόν. Πλ. Πρω. 355, e. Μὴ ἀποβάλῃς τὴν ἐπωνυμίαν τὸ καλὸς κἀγαθὸς κεκλῆσθαι. Ξε. οἰκ. 12, 2. Τί ποτε σημαίνει τῇ ψυχῇ ἡ αἴσθησις τὸ σκληρόν; Πλ. πολ. 524, a. — Ταύτῃ τῇ ξυνοικίᾳ ἐθέμεθα πόλιν ὄνομα. Πλ. πολ. 369. [z. Her. 1, 107.] Ὄνομα Ζάγκλη ἦν ὑπὸ τῶν Σικελῶν κληθεῖσα. Θ. 6, 4, 5. Μενίππῳ ἦν χελιδὼν τοὔνομα. Ἀρ. ὄρ. 1293. Τοῖς σκεπάσμασι τὸ ὄνομα ἱμάτια ἐκαλέσαμεν. Πλ. πολιτ. 279, a. Ἡ τοῦ πλήθους ἀρχὴ δημοκρατία τοὔνομα ἐκλήθη. Πλ. πολιτ. 291. Τῇ αὐγῇ τοὔνομα ἐρυθρὸν λέγομεν. Πλ. Τιμ. 68. (Τοὐλεύθερον ὄνομα παντὸς ἄξιον. Εὐ. Αὐγή. 10.)

A. 6. Auch bei einer parathetischen Apposition wird der genannte Begriff bloß in Apposition beigefügt: τοῦτο τὸ ὄνομα, τὸ πῦρ dieser Name, der des Feuers. Πότερον οἴει Ὅμηρον ὀρθότερον ἡγεῖσθαι τῶν ὀνομάτων κεῖσθαι τῷ παιδί, τὸν Ἀστυάνακτα ἢ τὸν Σκαμάνδριον; Πλ. Κρατ. 392. Ὅρα καὶ τοῦτο τὸ ὄνομα, τὸ πῦρ, μή τι βαρβαρικὸν ᾖ. Πλ. Κρατ. 410, a. [Προσείληφε τὴν τῶν πονηρῶν κοινὴν ἐπωνυμίαν, συκοφάντης. Αἰ. 2, 99. Der No. weil προσείληφε τὴν ἐπωνυμίαν so viel ist als vorher ἐκλήθη.]

A. 7. Mit dem Ge. des Eigennamens ist z. B. τὸ τῆς Τηθύος ὄνομα u. ä. bei Plat. Krat. 402 nicht bloß stoffartig, sondern bezeichnet den der Tethys beigelegten Namen. Vgl. Her. 2, 43, 1. 3, 64, 1. Aehnlich ist ὁ τῆς Λήθης ποταμός Rep. 621. Zw. ist τὸ ὄρος τῆς Ἰστώνης Thuk. 4, 46, 1, vgl. jedoch Κάνης ὄρος Her. 7, 42, Κισθήνης ὄρος Kratin. 209. Ἰλίου πόλις Eur. Hel. 105, 1560, Tro. 1263, Iph. A. 1520 u. a. ist mehr poetisch; wohl aber sagte man allgemein ἡ (τῶν) Ἀθηναίων πόλις (χώρα) und ἡ πόλις (χώρα) ἡ Ἀθηναίων. Vgl. Kr. zu Xe. An. 1, 2, 7, Arr. 6, 17, 2, Her. 1, 160, 2. So auch ἡ Βοιωτῶν χώρα ꝛc.

A. 8. Wenn zu einem persönlichen Eigennamen eine Apposition hinzutritt, so hat sie den Artikel, wenn sie nicht bloß ein Prädicat des Namens aussagt, sondern dies als ein notorisches oder distinguirendes hinstellt. Voran steht auch hier die Apposition, wenn sie hervorzuheben ist. Vgl. § 57, 7, Xen. An. 5, 7, 24 u. 29.) Ξενίας ὁ Ἀρκάς, στρατηγός, ἀπέπλευσεν. Ξε. ἀν. 1, 4, 7. Κῦρος ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην ἐστρατεύετο. Ξε. ἀν. 2, 1, 1. (Ὁ παῖς με ὁ Σάτυρος ἀπέδρα. Πλ. Πρω. 310.)

(A. 9. Daneben kann zugleich auch der Eigenname den Artikel haben in sofern er schon an sich die Person kenntlich zu machen geeignet ist. Μάντις παρῆν Ἀρηξίων, Ἀρκάς· ὁ δὲ Σιλανὸς ὁ Ἀμβρακιώτης ἤδη ἀποδεδράκει. Ξε. ἀν. 6, 2, 13. Ὁ Ὅμηρος ὁ σοφώτατος πεποίηκε σχεδὸν περὶ πάντων τῶν ἀνθρωπίνων. Ξε. συ. 4, 6. Ὁ Σόλων ὁ παλαιὸς ἦν φιλόδημος τὴν φύσιν. Ἀρ. νε. 1187. (Πρόνοιαν περὶ σωφροσύνης ἐποιήσατο ὁ Σόλων ἐκεῖνος, ὁ παλαιὸς νομοθέτης. Αἰ. 1, 6.) Vgl. § 47, 5, 4, Stud. 2 S. 61. 154 f.

A. 10. Wenn mit dem Namen eines Gottes ein Beiname desselben verbunden wird, so pflegt der Artikel bei beiden zu stehen oder bei beiden zu fehlen: Ζεὺς σωτήρ, ὁ Ζ. ὁ σ. [Ζεὺς ὁ Ὀλύμπιος Thuk. 3, 14, vielleicht mit Bezug auf den folgenden relativen Satz, ὁ γενέθλιος Pind. P. 4, 167; ὁ σωτὴρ Ζ. Ar. Plut. 1175, Xenarchos 2 vgl. Xe. An. 5, 10, 15, Plut. Sylla 17.] Vgl. Kr. De auth. p. 61.

A. 11. Wenn zu dem Namen eines Volkes der eines Stammes desselben hinzutritt, so hat dieser, falls der ganze Stamm bezeichnet wird, den Artikel: Λοκροὶ οἱ Ὀζόλαι Thuk. 1, 5, 3, Θρᾷκες οἱ Βιθυνοί Her. 1, 28, οἱ Βιθυνοὶ Θρᾷκες Xen. Hell. 1, 3, 2, ἡ Βιθυνὶς Θρᾴκη 3, 2, 2; daneben οἱ Λοκροὶ οἱ Ἀμφισσεῖς Aisch. 3, 123.

A. 12. In gleicher Weise (wie A. 8 u. 9) werden auch adjectivische Begriffe mit Substantiven durch den Artikel appositiv verbunden, selbst vorangestellt. In sofern eine Hervorhebung statt findet, übersetzen wir besonders das

nachgestellte Particip gern durch er der —. Μιλτιάδην τὸν ἐν Μαραθῶνι οἱ Ἀθηναῖοι εἰς τὸ βάραθρον ἐμβαλεῖν ἐψηφίσαντο. Πλ. Γο. 516. Ἰδεῖν σε βούλομαι καὶ τὸν υἱὸν τὸν μόνον. Ἀρ. πλ. 250. Οἱ πρόγονοι ἐν τοῖς ἐπέκεινα χρόνοις τοῖς ἀναριθμήτοις οὐδεμιᾶς πόλεως ἄρχειν ἐπεχείρησαν. Ἰσ. 12, 98. Τοὺς στρατηγοὺς τοὺς πάντα ὑμῖν κατὰ γνώμην πράξαντας ἀπολογίας ἀποστερήσετε; Ξε. Ἑλ. 1, 7, 28. — Ἦ καὶ δυνήσῃ ἀπολιπεῖν τὴν καλὴν Πάνθειαν; Ξε. Κυ. 6, 1, 41. Ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος φύει. Σο. Αἴ. 647. [z. Her. 1, 32, 1.] Μὴ πείθεσθε τοῖς ἀνοσιωτάτοις τριάκοντα. Ξε. Ἑλ. 2, 4, 21. Ὁ πάνθ' ὁρῶν καὶ πάντ' ἀκούων πάντ' ἀναπτύσσει χρόνος. Σο. ἀποσ. 284.

A. 13. [8, 2.] Wenn zu einem persönlichen Pronomen der vertretene Begriff selbst hinzugefügt wird, so erhält er den Artikel, wenn der Begriff ihn auch in einem andern Verhältnisse haben würde: ἡμεῖς οἱ Ἕλληνες wir Hellenen. [Kr. zu Xe. An. 1, 7, 7, vgl. z. Dion. p. 169 u. Reg. z. Th. u. Artikel 5.] Οὐχ οἷόν τέ ἐστι ταῦτα ἐμοὶ κωλῦσαι τῷ στρατηγῷ. Θ. 6, 14. Οὐκ ἐβούλετο τὸν υἱὸν ἐμὲ πένητα καταστῆσαι. Δη. 29, 45. Τὴν περὶ Σαλαμῖνα ναυμαχίαν ἡμεῖς γε οἱ Κρῆτες τὴν Ἑλλάδα φαμὲν σῶσαι. Πλ. νό. 707. Μὴ τῶν πτωχῶν πάλιν ἡμῶν καταφρόνει. Μέ. 295, 10. [Schäfer z. Dem. 3 p. 321.] Χαίρω ἀκούων ὑμῶν τῶν σοφῶν. Πλ. Ἴων 532. — Συνεβάκχευσα μετὰ σοῦ τῆς θείας κεφαλῆς. Πλ. Φαῖδ. 234. — (Δέονταί σου πεῖραν λαβεῖν καὶ Δεξίππου καὶ σφῶν τῶν ἄλλων. Ξε. ἀν. 6, 4, 33. Vgl. zu Thuk. 1. 144, 3.)

A. 14. [8, 3.] So auch wenn das Pronomen bloß im Verbum enthalten ist. Aehnlich kann zu einem ergänzten obliquen Casus eines persönlichen Pronomens eine Bestimmung mit dem Artikel hinzutreten [zu Xe. An. 2, 5, 25.] Οὐ σφόδρα χρώμεθα οἱ Κρῆτες τοῖς ξενικοῖς ποιήμασιν. Πλ. νό. 680. Ἐν ὕπνῳ τε καὶ ἐν τῇ εὐνῇ μάλιστα οἱ ἄνδρες ἐξαπατώμεθα. Νικόσ. Στ. 74, 63. (Οὕτως ἐσόμεθα τῆς τῶν πολεμίων φάλαγγος ἔξω οἱ ἔσχατοι λόχοι. Ξε. ἀν. 4, 8, 12.) Οἱ πολλοὶ τοῖς ὀλίγοις προΐεσθε τὰ τῆς δημοκρατίας ἰσχυρά. Αἰ. 2, 234. Vgl. Th. 7, 66, 1 u. § 45, 2, 6. — Ἀπήντησας [ἐμοὶ] τῷ νοσοῦντι περὶ λόγων ἀκοήν. Πλ. Φαῖδ. 228. Διονύσιος οὐκ ἤλπισεν ἄν ποτ' ἴσως Δίωνα ἐλθόντα ἐφ' ἑαυτὸν ἐκβαλεῖν τὸν τριήρεις πολλὰς κεκτημένον. Δη. 20, 162. Vgl. z. Th. 3. 81, 3.

A. 15. [8, 4.] Ausnahmen gestatten Personennamen, Plurale von Völkernamen und allgemeinen Begriffen, wie ἄνθρωποι, γυναῖκες vgl. 2 A. 11. 3 A. 6. Ἡμεῖς ἀβίωτον ζῶμεν ἄνθρωποι, βίον. Φιλή. 90. — Θεμιστοκλῆς ἥκω παρὰ σέ. Θ. 1, 137, 4. Ἕλληνες ἀεὶ παῖδές ἐστε. Πλ. Τί. 22. Ὀλίγα δυνάμενοι προορᾶν ἄνθρωποι περὶ τοῦ μέλλοντος πολλὰ ἐπιχειροῦμεν πράττειν. Ξε. Κυ. 3, 2, 15. Πάντες ἄνθρωποι βουλόμεθα εὖ πράττειν. Πλ. Εὐθύδ. 278, e. Γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν. Εὐ. Μήδ. 231. Ὀρθουμένης εὐνῆς γυναῖκες πάντ' ἔχειν νομίζετε. Εὐ. Μήδ. 570.

A. 16. [8, 5.] Mit dem Artikel werden auch Adjective zu einem (da stehenden oder im Verbum liegenden) persönlichen Pronomen als Apposition hinzugefügt. Ἐγὼ ὁ τάλας νεκρὸν ἀντὶ νυμφίου ἐκομισάμην. Ξε. Κυ. 4, 6, 5. Ὁρῶ μέγιστον ἄλγος ἡ τάλαιν' ἐγώ. Εὐ. Βάκχ. 1283. Ὁρᾷς με δέσποιν' ὡς ἔχω τὸν ἄθλιον; Εὐ. Ἱπ. 1395. Οὐδὲ ἀποθανεῖν οἱ τλήμονες δύνανται. Xe. An. 3, 1, 29 lat. A. mit Kr.s A. u. Dial. Sy. § 50, 7, 4. Ueber τάλας oben § 22, 8, 3.]

8. Bei attributiver Verbindung eines adjectivischen Begriffes mit einem Substantiv steht der Artikel, wenn er hinzutritt, unmittelbar vor dem adjectivischen Begriffe: *ὁ ἀγαθὸς ἀνήρ* oder *ὁ ἀνὴρ ὁ ἀγαθός;* aber nicht *ὁ ἀνὴρ ἀγαθός* oder *ἀγαθὸς ὁ ἀνήρ,* welches beides als Satz bedeutet: der Mann ist gut. [Kr. Stud. 2 S. 73 ff.]

A. 1. Voran steht von beiden Begriffen der betontere. Οὔ ποτ' ἄνδρα τὸν σοφὸν γυναικὶ χρὴ δοῦναι χαλινοὺς οὐδ' ἀφέντ' ἐᾶν κρατεῖν.

Εὐ. Κρῆσ. 2. Τί διαφέρει ἄνθρωπος ἀκρατὴς θηρίου τοῦ ἀμαθεστάτου; Ξε. ἀπ. 4, 5, 11. Πῶς ποτε ἡ ἄκρατος δικαιοσύνη πρὸς ἀδικίαν τὴν ἄκρατον ἔχει εὐδαιμονίας πέρι; Πλ. πολ. 545, a. Αἱ δεύτεραί πως φροντίδες σοφώτεραι. Εὐ. Ἱπ. 436. Τὰ μεγάλα δῶρα τῆς τύχης ἔχει φόβον. Στ. 105, 51.

A. 2. [6.] Wenn das Substantiv vorangeht, kann auch dieses den Artikel haben, wenn es schon an sich eine anaphorische Beziehung gestattet (τῶν δύο ἄρθρων δύο ἀναφορὰς διαφόρους δηλούντων. Apollon. συντ. 1, 40 p. 86). Ὀχληρὸν ὁ χρόνος ὁ πολύς. Μέ. 543. Τὰς μεγάλας ἡδονὰς καὶ τὰ ἀγαθὰ τὰ μεγάλα ἡ πειθὼ καὶ ἡ καρτερία καὶ οἱ ἐν τῷ καιρῷ πόνοι καὶ κίνδυνοι παρέχονται. Ξε. Κυ. 3, 3, 8. Νόμος αἰσχρὸς ὅταν κύριος ᾖ, τῆς πόλεως ὄνειδός ἐστι τῆς θεμένης. Δη. 24, 207. Διοικοῦνται αἱ μὲν τυραννίδες καὶ ὀλιγαρχίαι τοῖς τρόποις τῶν ἐφεστηκότων, αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι τοῖς νόμοις τοῖς κειμένοις. Αἰ. 3, 6.

A. 3. [7.] Diese Bestimmungen (R. 8 u. A. 1) finden auch Anwendung, wenn nicht adjectivische Begriffe adjectivartig durch den Artikel mit einem Substantiv verbunden werden.

A. 4. [8.] Hieher gehören zunächst Adverbia, die mit Substantiven verbunden z. Th. als eine lockere Composition erscheinen, wie ὁ μεταξὺ χρόνος die Zwischenzeit. So gebraucht werden am häufigsten Adverbia des Raumes, der Zeit, des Maßes und der Realität. [Kr. Stud. 2 S. 71.] Οἱ ταύτῃ ἠπειρῶται ἀεί ποτε αὐτοῖς φίλοι εἰσίν. Θ. 1, 47, 2. Οἱ σατράπαι οὐ καταισχύνουσι τὴν ἐκεῖ παίδευσιν. Ἰσ. 4, 152. Ἀνέστησε τὸ ξυμμαχικὸν τὸ ἐκείνῃ πᾶν. Θ. 4, 77, 2. Τοῦ ἀνθρώπου ὁ ἐντὸς ἄνθρωπος ἔσται ἐγκρατέστατος. Πλ. πολ. 589, a. Ὁ Παυσανίας ἐν μεγάλῳ ἦν ἀξιώματι διὰ τὴν Πλαταιᾶσιν ἡγεμονίαν. Θ. 1, 130, 1. Εὔχεσθαι χρὴ τὴν μετοίκησιν τὴν ἐνθένδε ἐκεῖσε εὐτυχῆ γενέσθαι. Πλ. Φαίδ. 117. Τῆς πάλιν μέμνησ' ὁδοῦ. Εὐ. Ὀρ. 125. [Lobeck zu So. Ai. p. 368.] Τὴν πλησίον τύχην οὐκ ἴσμεν. Γν. . . . — Ἄχρι τῆς τήμερον ἡμέρας οὐδὲν τῶν δεόντων πρᾶξαι δυνάμεθα. Δη. 9, 28. Ἐν τῷ τέως χρόνῳ ἐκολάζετε τοὺς δωροδοκοῦντας. Λυ. 28, 2. Οὐδὲν δίκαιόν ἐστιν ἐν τῷ νῦν γένει. Εὐ. [Τέννης.] Τὴν ἤδη χάριν τοῦ μετὰ ταῦτα χρόνου πάντες περὶ πλείονος ἡγεῖσθε. Δη. 23, 134. Ἀργείους ἤγαγον εἰς τὴν ποτὲ φιλίαν. Ἀνδ. 3, 22. Ἀπήλλαξε τὴν πόλιν δέους καὶ ταραχῆς τῆς τότε. Λυ. 6, 35. Ὀκνῶ γε μόχθων τῶν πρὶν ἐκχέαι χάριν. Εὐ. Φιλόκ. 2. Ῥᾳθυμία (γε) τὴν παραυτίχ' ἡδονὴν λαβοῦσα λύπας τῷ χρόνῳ τίκτειν φιλεῖ. Θεοδέκτης Στ. 29, 35. — Ὑπερήφανόν που γίγνεθ' ἡ λίαν τρυφή. Μέ. 578. Ἡ ἄγαν ἐλευθερία εἰς ἄγαν δουλείαν μεταβάλλει. Πλ. πολ. 564, a. Ἐκ τῆς ἀμελείας ταύτης τῆς ἄγαν ὁρμήσατε. Δη. 4, 17. Εἶχον ἡγεμόνας τῶν πάνυ στρατηγῶν. Θ. 8, 89, 2. [Kr. Stud. 2 S. 72.] — Διὰ λογισμοῦ ψυχῇ πρὸς τὴν ὄντως οὐσίαν κοινωνοῦμεν. Πλ. σοφ. 248, a. Ἐκεῖνός ἐστιν ὁ ἀληθῶς οὐρανὸς καὶ τὸ ἀληθῶς φῶς καὶ ἡ ὡς ἀληθῶς γῆ. Πλ. Φαίδ. 109, a. Ἐχώρησαν ἐπὶ τὴν ἄντικρυς δουλείαν. Θ. 8, 64, 3. Τοὺς ὁμολογουμένως δούλους ἠξίου βασανίζειν. Δη. 29, 39. (vgl. Xe. Hell. 2, 3, 38, wo Cobet N. l. p. 316 ὁμολογουμένους will.) Μόνην ἔστεργε τὴν ἁπλῶς δίκην. Σο. ἀποσ. 709. Τῷ αὐτῷ ὑπὸ πάντων ἰδίᾳ δοξάσματι λανθάνει τὸ κοινὸν ἀθρόον φθειρόμενον. Θ. 1, 141, 6. Αἱρεῖσθε ἤδη τὴν αὐτίκα ἀκινδύνως δουλείαν. Θ. 6, 80, 4. Πολλὰ τῶν καταλογάδην συγγραμμάτων μεγάλας τὰς προσδοκίας παρέσχεν. Ἰσ. 2, 7. (Δέδοικε τὸν αὐτοδὰξ τρόπον. Ἀρ. εἰρ. 607. Ἐνθουσιαστικοὺς ποιεῖ ἡ Φρυγιστὶ ἁρμονία. Ἀρλ. πολ. 8, 5, 8.)

A. 5. [9.] Ἀεί so gebraucht heißt nicht bloß immer, sondern auch jedes Mal. Vgl. 10 A. 5. Δυνάσται ἐν Ἅιδου τὸν ἀεὶ χρόνον τιμωροῦνται. Πλ. 525, a. Διέφερεν ἐν πᾶσι τοῖς καλοῖς ἔργοις διὰ τὴν ἀεὶ μελέτην. Ξε. Κυ. 8, 1, 39. — Ὁ οὐ πονήσας βέβαιον οὐδὲν τῆς ἀεὶ τύχης ἔχει. Εὐ. Ἑλ. 715. Πεπαιδευμένους καλῶ τοὺς πρεπόντως καὶ δικαίως ὁμιλοῦντας τοῖς ἀεὶ πλησιάζουσιν. Ἰσ. Ἀσκεῖται τὸ ἀεὶ τιμώμενον. Πλ. πολ. 561, a.

A. 6. [10.] Mit einem temporalen Adjectiv verbunden wird ein Substantiv diesem selbst mit einem andern Adjectiv entgegengesetzt; während ein Adverbium der Art dem Substantiv bloß die Zeit in die es gehört zuweist: ἡ προτέρα ὀλιγαρχία die frühere Oligarchie [Lys. 12, 65 vgl. 14, 38], mit Bezug auf eine spätere; ἡ πρότερον ὀ. die früher da gewesene O., die man auch mit Bezug auf eine später anders gewordene Verfassung denken kann. Ὅτ' εὐτυχεῖς, μέμνησο τῆς προτέρας τύχης. Μέ. 702. Τῇ πρότερον ἀπραγμοσύνῃ ἐναντία τολμῶμεν. Θ. 1, 32, 4. [vgl. Dem. 19, 84.] Προμηθέα Διὶ συνῆγον οἱ πρῶτον ἄνθρωποι. Πλ. ἐπ. 311. Τὸν νεωστὶ δαίμονα τιμῶσι χοροῖς. Εὐ. Βάκχ. 219. Ἔστιν ἡ πάλαι γονή. Εὐ. Ὀρ. 129.

A. 7. [11.] Ueber den Ge. § 47, 9, 9 ff. [„Während ὁ δῆμος ὁ (τῶν) Ἀθηναίων oder ὁ Ἀθηναίων δῆμος das athenische Volk im Ggs. zu einem andern Volke bezeichnet (Dem. 18, 181 ff. vgl. Inschr. 101: ὁ δῆμος ὁ Ἀθηναίων καὶ ὁ δῆμος ὁ Πειραιέων), sagte man ὁ δῆμος τῶν Ἀ. und τῶν Ἀ. ὁ δῆμος, wenn andere Theile oder Individuen der Athener selbst im Ggs. zu denken waren." Kr. Stud. 2 S. 78.] So findet sich auch der Ge. des Betrages. Ohne Anstoß ist beim Ge., wie auch sonst, das Zusammentreffen mehrerer Artikel, wenn nur nicht gerade dieselbe Form zwei Mal hinter einander erscheint. [Dieselbe Form findet sich erst bei Aristoteles und Spätern zuweilen unmittelbar hinter einander.] Vor dem Artikel steht der von dem Nomen desselben regierte Ge. des Relativs nach § 51, 4, 11. vgl. 47, 9, 19. Τὰς θηλείας ἁρμόττει περὶ τὴν ὀκτωκαίδεκα ἐτῶν ἡλικίαν συζευγνύναι. Ἀρλ. πολ. 7, 14, 6. — Τὸ τὴν τοῦ βελτίονος δόξαν μὴ φοβεῖσθαι διὰ θράσος, τοῦτ' αὐτό ἐστι σχεδὸν ἡ πονηρὰ ἀναισχυντία. Πλ. νό. 701. Τὰ τῆς τῶν πολλῶν ψυχῆς ὄμματα καρτερεῖν πρὸς τὸ θεῖον ἀφορῶντα ἀδύνατον. Πλ. σοφ. 254. Ἐγὼ ὑμᾶς ἀξιῶ πολὺ μᾶλλον τοὺς ἀδικοῦντας τιμωρεῖσθαι ἢ τοὺς τὰ τῆς πόλεως ἔχοντας ἐλεεινοὺς ἡγεῖσθαι. Λυ. 29, 8. [Einzelnheiten Stud. 2. S. 83.]

A. 8. [12.] Nicht oft erscheint durch den Artikel mit einem Substantiv (oder einer Substantivirung) verbunden der Dativ, gew. eingeschoben, in Bedeutungen desselben welche die Beispiele ergeben. [Kr. Stud. S. 73 f.] Πρὸς ἐκείνην τὴν Μαραθῶνι οὐδεὶς οὐδ' ἐγχειρεῖ πολεμίζειν. Ἀρ. θε. 806. Εὔχεται ἐν τῷ Ἐλευσῖνι ἱερῷ. Λυ. 6, 4. Εἵλοντό με πάντες οἱ κύκλῳ βασιλεῖς προστάτην τοῦ πολέμου. Ξε. Κυ. 7, 2, 23. — Εἰς τὴν ἐκκλησίαν, τὴν τῇ ἕκτῃ λέγω, ἔκδοτον Κερσοβλέπτην ἐποίησεν. Αἰ. 3, 73. — Βούλονται τὰ αὐτοῖς ἀγαθά. Ἀρλ. ῥητ. 2, 4. Ὁ Θρᾳξὶ μάντις εἶπε Διόνυσος τάδε. Εὐ. Ἑκ. 1267. Ἐξέκλεπτε τὸν ἠδικηκότα καὶ τὴν παράδοσιν αὐτοῦ τὴν τοῖς ἕνδεκα. Δη. 24, 80. Τὴν αὐτοῖς ὁμοιότητα τῆς διαγωγῆς ἀεὶ ἕξουσιν. Πλ. Θε. 177, a. — Τὰ δόλῳ τῷ μὴ δικαίῳ κτήματ' οὐχὶ σώζεται. Σο. ΟΚ. 1026. Τὸ τῷ ὄντι ψεῦδος οὐ μόνον ὑπὸ θεῶν, ἀλλὰ καὶ ὑπ' ἀνθρώπων μισεῖται. Πλ. πολ. 382. Τίνα φῂς εἶναι τὴν φύσει ὀρθότητα ὀνόματος; Πλ. Κρίτ. 391, a. Ὁ τῷ ἀκριβεῖ λόγῳ ἰατρὸς πότερον χρηματιστής ἐστιν ἢ τῶν καμνόντων θεραπευτής; Πλ. πολ. 341. (Ἡ τοῖς βέλεσιν ἔφεσις Plat. Ges. 717, a.)

A. 9. [13.] Häufig werden mit Substantiven, sowohl persönlichen als besonders sachlichen, Präpositionen mit ihrem Casus durch den Artikel verbunden. Ὁ ἐν καιρῷ μόχθος πολλὴν εὐδαιμονίαν τίκτει θνητοῖσι τελευτῶν. Εὐ. Τημ. 8. Πᾶσιν ἡ γῆ θηρίοις ἑκοῦσα παρέχει τὴν καθ' ἡμέραν τροφήν. Φιλ. 86, 4. Ὁ νομοθέτης τὸν εἰς ὁτιοῦν ὑβριστὴν οὐκ ἐπιτήδειον ἡγήσατο συμπολιτεύεσθαι. Αἰ. 1, 17. Τῶν ἀγγέλων ἐγένετο τῶν παρὰ τὸν βασιλέα. Πλ. πολ. 360, a. Κῦρος ᾔσθη τὸν ἐκ τῶν Ἑλλήνων εἰς τοὺς βαρβάρους φόβον ἰδών. Ξε. ἀν. 1, 2, 18. — Ὕδωρ πάντων τὸ περὶ τὰς κηπείας διαφερόντως τρόφιμον, εὐδιάφθαρτον δέ. Πλ. νό. 245. Πρὸς τὰς τέχνας ἁπάσας ἓν οὐδὲν οὕτω δύναμιν ἔχει παίδειον μάθημα μεγάλην ὡς ἡ περὶ ἀριθμοὺς διατριβή. Πλ. νό. 747. Πολὺ μᾶλλον φοβεῖσθε τοὺς τῆς πόλεως νόμους ἢ τὸν πρὸς τοὺς

πολεμίους κίνδυνον. Λυ. 14, 15. Ἡ παρ' ἐλπίδας χαρὰ ἔοικεν ἄλλῃ μῆκος οὐδὲν ἡδονῇ. Σο. Ἀντ. 392. — Τὰς ἐκ θεῶν ἀνάγκας θνητὸν ὄντα δεῖ φέρειν. Εὐ. Φοι. 1763. Οἱ θεοὶ ταῖς παρὰ τῶν εὐσεβεστάτων τιμαῖς μάλιστα χαίρουσιν. Ξε. ἀπ. 1, 3, 3. Οἶσθα τὰς τιμὰς ἡδίους οὔσας τὰς παρὰ τῶν μέγα φρονούντων ἢ τὰς παρὰ τῶν δουλευόντων. Ἰσ. 10, 35. Ἀπάτης μεστὴ ἡ διὰ τῶν ὀμμάτων σκέψις. Πλ. Φαίδ. 83, a. Διαφέροντα τοῖς καθ' ἡμέραν δαπανήμασι δὴ τὸν βίον ὁρῶ μόνον. Φιλή. 91. (Ἀφίκοντο οἱ ἀντ' ἐκείνων στρατηγοί. Ξε. Ἑλ. 1, 1, 29. Χαίρουσι ταῖς ἄνευ λυπῶν ἡδοναῖς. Ἀρλ. πολ. 2, 4, 7.)

A. 10. [14.] Ἔξ, ἀπό und παρά können dem Artikel, (auch wenn er kein Substantiv hat 5 A. 5. 12), so beigefügt werden, wenn ein Verbum da steht bei dem ohne den Artikel eine dieser Präpositionen stehen würde, wie: ἐκόμισεν ἐκ Μήδων χρυσίον, so auch ἐκόμισε τὸ ἐκ Μ. χ. Αἰ. 3, 258. Eine Sprechweise die man gew. Attraction nennt. Ἄρθμιος τὸν χρυσὸν τὸν ἐκ Μήδων εἰς Πελοπόννησον ἤγαγεν. Δη. 9, 42. Δείν. 2, 25. Οἱ ἐκ τῶν Ἀθηνῶν πρέσβεις οὐδὲν ἦλθον πράξαντες. Θ. 3, 5, 1. Ἀδύνατοι ἦσαν ξυμβοηθεῖν οἱ ἀπὸ θαλάσσης Ἀκαρνᾶνες. Θ. 2, 80, 1. Συμπέμπει τοὺς ἀπὸ τοῦ στόματος πελταστάς. Ξε. ἀν. 3, 4, 43. Οὐχ ἡ παρ' ἡμῶν σοι γενήσεται χάρις. Εὐ. Ἀλκ. 70. — Οἱ ἐκ τοῦ πεδίου ἔθεον πρὸς τοὺς παρατεταγμένους. Ξε. ἀν. 4, 6, 25. Σοφός ἐστιν ὁ φέρων τἀπὸ τῆς τύχης καλῶς. Κω. ἀν. 33. Οἱ παρὰ Ἀριαίου ἧκον. Ξε. ἀν. 2, 2, 1. Τὰ παρ' Ἐγεσταίων λόγῳ ἑτοῖμά ἐστιν. Θ. 6, 22, 3. [Nachweisungen über manche mit dieser Sprechweise mehr oder weniger verwandte Erscheinungen bieten die Register zu Kr.s Ausgaben unter ἀπό, ἔκ, παρά.]

A. 11. [15.] Dieselbe Fügung ist auch bei den entsprechenden Adverbien auf -θεν üblich. Τὸν ἐνθένδε πόλεμον εἰς τὴν ἤπειρον διοριοῦμεν. Ἰσ. 4, 174. Παρασκευὴν καὶ τοξοτῶν τῶν αὐτόθεν καὶ ἐκ Κρήτης καὶ σφενδονητῶν ἑτοιμασάμενοι ἄξουσιν. Θ. 6, 25, 3. — Εἶργον τοὺς ἐκεῖθεν ἐπιβοηθεῖν. Θ. 1, 62, 3. Ἐπεχείρησαν διαφορῆσαι τἄνδοθεν. Δη. 57, 65. (Τὸ τεθνάναι μεταβολή τις τυγχάνει οὖσα καὶ μετοίκησις τῆς ψυχῆς τοῦ τόπου τοῦ ἐνθένδε εἰς ἄλλον τόπον. Πλ. ἀπ. 40.) Vgl. Kr. z. Dion. p. 302 u. Pflugk zu Eu. Her. 142.

A. 12. [16.] Eben so werden ἀπό und besonders ἔξ auch gebraucht wo sie ein einstweiliges Hergekommensein bezeichnen. Τῶν στρατηγῶν ὑπέδραμε τοὺς ἐκ Πύλου. Ἀρ. ἱπ. 742. Οἱ Μεσσήνιοί τινα ἐνέδραν ἐπεποίηντο τοῖς ἀπὸ τῶν νεῶν, οἱ δὲ Ἀθηναῖοι τοὺς ἐκ τῆς ἐνέδρας τρέπουσιν. Θ. 3, 90, 3. [zu 6, 61, 6.]

A. 13. [17.] Auffallender werden ἔξ und ἀπό, so wie die entsprechenden Adverbia, mit dem Artikel gebraucht wo bloß eine Beziehung auf einen anderweitigen Standpunkt vorschwebt. Vgl. § 68, 17, 3. Ξυνεπεύχοντο ὁ ἄλλος ὅμιλος ὁ ἐκ τῆς γῆς. Θ. 6, 32, 2. Ἦν γέλως ὑπὸ τῶν ἐκ τῆς ὁλκάδος. Πλ. Λάχ. 184. Οὐκ ἐλείπετο τὰ ἀπὸ τοῦ καταστρώματος τῆς ἄλλης τέχνης. Θ. 7, 70, 3. Ἐτύγχανεν ὢν μετὰ τὰ ἐκ τῆς Αἰτωλίας περὶ Ναύπακτον. Θ. 3, 102, 2. Ἠρώτα τοὺς αὐτομόλους τὰ ἐκ τῶν πολεμίων. Ξε. Κυ. 3, 3, 48. — Τοιαῦτα μὲν τἀκεῖθεν. Ἀρ. ὄρ. 1304. Πρὸς τὰς ἔξωθεν πόλεις ἕτοιμοί ἐσμεν ἄγειν εἰρήνην. Πλ. πολ. 307, a. Εἰδὼς τὰ τῶν θύραθεν ἀβλαβὴς ἔσει. Αἰσ. ἐπ. 68. Μέρος τι τῶν ἐκεῖθεν μιμεῖται. Ἰσ. 11, 17. Vgl. Reg. z. Th. u. den betreffenden Wörtern.)

[A. 14. [18.] Umgekehrt finden sich (seltener) Präpositionen die eine Richtung nach einem Orte ausdrücken für die entsprechenden der Ruhe, nur durch das Verbum veranlaßt oder auf einen anderweitigen Standpunkt bezogen. Ἀπεδήμησε μετὰ τῶν εἰς Μυτιλήνην στρατιωτῶν. Ἰσαῖ. 9, 1. Τὰ οἴκαδε ποθεῖ. Ξε. Κυ. 1, 3, 4. — Γάμοι οἷς μὴ πίπτουσιν εὖ, τά τ' ἔνδον εἰσὶ τά τε θύραζε δυστυχεῖς. Εὐ. Ὀρ. 603. Vgl. z. Th. 1, 58, 1.]

A. 15. [19.] Uebrigens können auch ohne Artikel nicht bloß, wie im Deut-

schen, Präpositionen mit ihrem Casus, sondern selbst Adverbia, meist jedoch nur des Maßes, mit Substantiven verbunden werden. [z. Th. 1, 6, 3. 6, 90, 3.] Φθονεῖ εἴ τι ὑπὲρ τὴν ἑαυτοῦ φύσιν ἀκούει. Θ. 2, 35, 2. Τοὺς ξένους τιμᾷ καὶ νόσων θεραπείαις καὶ περὶ ταφὰς κόσμῳ. Ξε. Ἑλ. 6, 1, 6. Ἔργων ἐκ πολλοῦ μελέτῃ πλείω σώζει ἢ λόγων δι' ὀλίγου καλῶς ῥηθεῖσα παραίνεσις. Θ. 5, 69, 3. — Κίνδυνον ἐκεῖθεν προεῖπον. Θ. 6, 91, 2. Ἦν ἄντικρυς δίοδος. Θ. 2, 4, 3. Ἡ ἧσσα οὐκ ἄλλο τι φέρει ἢ ἄντικρυς δουλείαν. Θ. 1, 122, 3. Συμπροσέμιξα τῷ ἀνδρὶ πάνυ νέος πάνυ πρεσβύτῃ. Πλ. Θε. 183, e. Οὐδαμῶς ἀνδρῶν ἄρχοντα λέγεις, ἀλλά τινων σφόδρα γυναικῶν. Πλ. νό. 639. Οὔτ' αὐχμὸς πιέζει οὔτ' ἄγαν ἐπομβρία. Ἀρ. νε. 1120. Γέγονε τῶν ἐχθρῶν ἄρδην ὄλεθρος. Δη. 19, 141. [Kr. Stud. 2 S. 71 f. vgl. z. Th. 4, 4, 1. 7, 81, 5. Ueber μάτην κόμπος Kr. z. Her. 7, 103, 2. Ueber den Dativ Heindorf z. Plat. Krat. 85.]

A. 16. [20.] Durch den Artikel kann auch ein relativer oder temporaler Satz adjectivisch mit einem Substantiv (oder einer Substantivirung) verbunden werden. Vgl. § 50, 6, 1. Τῇ ὧν προσῆκε παρασκευῇ καταγέλαστοί ἐστε. Δη. 8, 67. Ἀνόμοιόν ἐστι τῇ ᾗ φῄς σὺ σκληρότητι. Πλ. Κρατ. 435, a. Οἱ οἷοίπερ ὑμεῖς ἄνδρες πολλάκις καὶ τὰ βουλευόμενα καταμανθάνουσιν. Ξε. Κυ. 6, 2, 3. Σόλων ἐμίσει τοὺς οἷος οὗτος ἀνθρώπους. Δη. 19, 254. Τῆς οἷα παρ' ἡμῖν ἐστι πολιτείας τὰ πράγματα ἀφῄρηται. Δη. 19, 186. — Ἐκράτει τοὺς ὁποίους δή ποτε ὑμεῖς ἐξεπέμπετε στρατηγούς. Δη. 18, 146. — Τούτους τοὺς στρατιώτας Διοπείθης νῦν ἔχει τοὺς ὁποίους τινὰς οὖν. Δη. 8, 20. — Τῷ ὅσον Εὐθύνους δυναμένῳ ἐξῆν ἃ ἔλαβεν ἀποστερεῖν. Ἰσ. 21, 13. — Οὐ τὴν ὥσπερ ἐπὶ τοῦ δίφρου ἕδραν ἐπαινοῦμεν. Ξε. Ἱπ. 7, 5. Ποτέρῳ ἂν εἴη πλείων σχολή, τῷ ὡς ἐγὼ νῦν ἢ τῷ ὡς σὺ μακαρίζεις διαιτωμένῳ; Ξε. ἀπ. 1, 6, 9. (Ποτέρως λέγεις τὸν ἄρχοντά τε καὶ τὸν κρείττονα, τὸν ὡς ἔπος εἰπεῖν ἢ τὸν ἀκριβεῖ λόγῳ; Πλ. πολ. 341.) Τῆς ὅπου βούλεσθε ὀλιγαρχίας οὗτος ἀσελγέστερος γέγονεν. Δη. 22, 52. 24, 163. — Τὴν ὅτ' ἀδωροδόκητος ὑπῆρχε προαίρεσιν αὐτοῦ τῆς πολιτείας ἀναμνήσθητε. Δη. 19, 27. Δὸς αὐτῷ ἐν τῷ πρὶν καὶ γενέσθαι ἡμᾶς χρόνῳ εἶναι τὴν ψυχήν. Πλ. Φαίδ. 88, a. [Aehnlich ἀνέστησε τοὺς ὑπερβάντι Αἷμον Γέτας. Θ. 2, 96, 1.]

A. 17. [21.] Ein solcher Satz findet sich sogar mit dem Artikel substantivirt. Οὔ τοι τι οἱ ἡλίκοι ἐγὼ ἔτι γιγνώσκομεν τοὺς νεωτέρους. Πλ. Λάχ. 180.

VII. Der Artikel bei zwei Bestimmungen. Stellung.

9. **Wenn zwei Bestimmungen ohne Copula durch den Artikel mit einem Substantiv verbunden werden, so stehen gewöhnlich entweder beide zwischen Artikel und Substantiv oder eine, wohl auch beide, mit wiederholtem Artikel nach dem Substantiv.**

A. 1. In den nicht häufigen Fällen, wo beide Bestimmungen Adjective sind, findet die Einschiebung beider eigentlich nur dann statt, wenn das eine Adjectiv auf das andere mit dem Substantiv verbunden gedachte zu beziehen oder als Prädicat, durch Ergänzung eines ὤν erklärbar, zu fassen ist. Wo jedes Adjectiv für sich zu denken ist, was im Griechischen öfter als im Deutschen statt findet, können, wenn betont, beide Adjective mit doppeltem Artikel vor dem Substantiv eintreten. In den seltenen Fällen wo drei Bestimmungen eintreten, pflegen zwei nach dem Substantiv zu stehen. Ἔπεμπον εἰς τὰς ἄλλας Ἀρκαδικὰς πόλεις. Ξε. Ἑλ. 7, 4, 38. Οὐδ' οἱ ξύμπαντες ἄλλοι φίλοι μοῖραν φιλίας οὐδεμίαν παρέχονται πρὸς τὸν ἔνθεον φίλον. Πλ. Φαίδ. 255. Τὰς τῆς προτέρας ἀνοήτου ἀρχῆς ὁρκωμόσια ἐμπεδώσει. Πλ. Φαίδ. 241, a. Περιεγίγνοντο καὶ τῶν ἄλλων πολλῶν ξυμμάχων. Θ. 7, 56, 3. — Εἰς Ὁμη-

ρον ἀποβλέπει καὶ τοὺς ἄλλους ποιητὰς τοὺς ἀγαθούς. Πλ. συ. 209. Ἔθαψα ἄρτι γενειάσκοντα τὸν ἄριστον παῖδα τὸν ἀγαπητόν. Ξε. Κυ. 4, 6, 5. Εἰςέβη ἐπὶ θέαν εἰς τὸ μέγα πλοῖον τὸ Φοινικικόν. Ξε. οἰκ. 8, 11. Ἐγένετο τὸ εἰωθὸς σημεῖον τὸ δαιμόνιον. Πλ. Εὐθύδ. 272, e. Δοκεῖς μοι ὁμοιότατος εἶναι ταύτῃ τῇ πλατείᾳ νάρκῃ τῇ θαλαττίᾳ. Πλ. Μέ. 80, a. Τὴν ἰδίαν τύχην τὴν ἐμὴν τῆς κοινῆς τῆς πόλεως κυριωτέραν εἶναί φησιν. Δη. 18, 255. — Πότερον δυνατὴ φύσις ἡ ἀνθρωπίνη ἡ θήλεια τῇ τοῦ ἄῤῥενος γένους κοινωνῆσαι εἰς ἅπαντα τὰ ἔργα ἢ οὐδὲ εἰς ἕν; Πλ. πολ. 452, e. Γίγνεται ὁ τόκος ὁ ἔγγειος ὁ ἐφεκτὸς πεντακόσιαι δραχμαί. Δη. 34, 24. — Τοῦ θήλεος τοῦ ἀνθρωπίνου γένους μίμημά ἐστι γονή. Πλ. Κρατ. 431, a. Σκόπει τοῦτο κατὰ τὴν Ἀττικὴν τὴν παλαιὰν φωνήν. Πλ. Κρατ. 398, Τὸν ἄλλον τὸν ἐμὸν βίον γιγνώσκετε. Λυ. 24, 5. Ἐν τῇ ἀρχαίᾳ τῇ ἡμετέρᾳ φωνῇ αὐτὸ συμβαίνει τὸ ὄνομα. Πλ. Κράτ. 398. Ἐν ταῖσιν ἰοστεφάνοισιν οἰκεῖ ταῖς ἀρχαίαισιν Ἀθήναις. Ἀρ. ἱπ. 1323. Παρὰ τὴν χαλκῆν τὴν μεγάλην Ἀθηνᾶν ἐκ δεξιᾶς ἕστηκεν. Δη. 19, 272. — Ταῖς μεθ' ἑαυτοῦ ναυσὶ καὶ ταῖς τρισὶ ταῖς Χίαις παρέπλει. Θ. 8, 23, 4

A. 4. So unterscheiden sich viele Media von ihren Activen nur in sofern als sie mehr die Idee des geschäftlichen oder geistigen Kraftaufwandes erregen. Hieher gehören auch σκοπεῖν anschauen, betrachten und σκοπεῖσθαι aufmerksam anschauen, überlegen, prüfen. Dabei sind aber Media für bestimmte Verbindungen vorzugsweise oder ausschließlich im Gebrauche. Σωκράτης διαλεγόμενος προετρέπετο πάντων μάλιστα τοὺς συνόντας πρὸς ἐγκράτειαν. Ξε. ἀπ. 4, 5, 1. Τὸ τὰς γενομένας διαφορὰς πρὸς ἀλλήλους θέσθαι καλῶς, τοῦτ' εἰκότως ἤδη δοκεῖ ἀνδρῶν ἀγαθῶν καὶ σωφρόνων ἔργον εἶναι. Ἀνδ. 1, 140. Πρὸς εὐδαιμονίαν οὐδὲν ἂν συμβάλοιτο τηλικαύτην δύναμιν ὅσηνπερ ἀρετὴ καὶ τὰ μέρη ταύτης. Ἰσ. 8, 32. Τὰ μικρὰ ῥᾴδιον τοῖς λόγοις ὑπερβαλέσθαι. Ἰσ. 10, 13. Πολλοί γε θνητῶν τῷ θράσει τὰς συμφορὰς ζητοῦσ' ἀμαυροῦν κἀποκρύπτεσθαι κακά. Εὐ. Ἰνώ 12. Ἐκμαρτυρεῖν τὰς αὐτοῦ τύχας εἰς πάντας ἀμαθές· τὸ δ' ἐπικρύπτεσθαι σοφόν. Εὐ. Οἰδ. 14. Ὀλίγον χρόνον δύναιτ' ἄν τις πλάσασθαι τὸν τρόπον τὸν αὐτοῦ. Λυ. 19, 60. Ὀρθῶς ἂν ὁριζοίμεθα ὁριζόμενοι δικαίους εἶναι τοὺς εἰδότας τὰ περὶ ἀνθρώπους νόμιμα. Ξε. ἀπ. 4, 6, 6. Χρὴ τὰ μὲν βεβαιοῦσθαι τῶν νομίμων, τὰ δ' ἐπανορθοῦσθαι. Πλ. νό. 951. — Ἡ ψυχὴ τῷ σώματι προσχρῆται εἰς τὸ σκοπεῖν τι διά τινος αἰσθήσεως. Πλ. Φαίδ. 79. Ἔδοξέ μοι, ἐπειδὴ ἀπείρηκα τὰ ὄντα σκοπῶν, δεῖν εὐλαβηθῆναι μὴ πάθοιμι ὅπερ οἱ τὸν ἥλιον ἐκλείποντα θεωροῦντες καὶ σκοπούμενοι. Πλ. Φαίδ. 99. Οὕτω δεῖ περὶ παντὸς σκοπεῖν· ὅταν γάρ τι ταύτῃ σκοπούμενος ἕλῃς, οὕτως ἔμφρων περὶ τοῦτο γέγονας. Πλ. Φίλ. 17. Οὐ πάνυ συγχωρῶ τὸν ἐν τοῖς λόγοις σκοπούμενον τὰ ὄντα ἐν εἰκόσι μᾶλλον σκοπεῖν ἢ τὸν ἐν τοῖς ἔργοις. Πλ. Φαίδ. 100. Τὸ ἀριθμεῖν οὐκ ἄλλο τι θήσομεν τοῦ σκοπεῖσθαι πόσος τις ἀριθμὸς τυγχάνει ὤν. Πλ. Θε. 198. Ἠριθμοῦντο πολλοὶ ἅμα τὰς ἐπιβολάς. Θ. 3, 20, 3. — Δεῖ μετριάζειν ἐν ταῖς εὐπραξίαις καὶ προορωμένους τὸ μέλλον φαίνεσθαι. Δη. 20, 162. (Ueber κατῳκῆσθαι z. Th. 1, 120, 2.)

A. 5. Hieher gehören auch mehrere Composita von δεικνύναι und φαίνειν, in sofern sie eine Kraftäußerung durch That oder Intelligenz bezeichnen. Doch enthalten diese, besonders die eine Aeußerung bezeichnenden, zum Theil mit den Begriff: etwas als subjective Ansicht vortragen. Aehnlich sind ψεύδομαι lüge, täusche, breche mein Wort (dagegen als MP. täusche mich nach 6 A. 1), προβάλλομαι schlage als mir beliebigen vor, ἐντέλλομαι trage als meinen Willen auf, ἐπαγγέλλομαι erbiete mich zu etwas von mir zu Gewährendem. Ἔστι καὶ πταίσαντ' ἀρετὴν ἀποδείξασθαι θανάτῳ. Εὐ. Αἰγ. 5. Τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς ἐν τοῖς ἔργοις ἐνδείκνυσθε μᾶλλον ἢ ἐν τοῖς λόγοις. Ἰσ. 3, 61. Χαλεπὸν μὴ παραδείγμασι χρώμενον ἱκανῶς ἐνδείκνυσθαί τι τῶν μειζόνων. Πλ. πολιτ. 277. Δεῖ τὸν ἵππον ἑκόντα πάντα τὰ κάλλιστα καὶ λαμπρότατα ἐπιδείξασθαι. Ξε. ἱπ. 11, 6. Ἀναιδὲς δοκεῖ μὴ εἰδότας ἐπιστήμην ἀποφαίνεσθαι τὸ ἐπίστασθαι οἷόν ἐστιν. Πλ. νό. 719. Τὸ μηδὲ ἄκοντά τινα ἐξαπατῆσαι ἢ ψεύσασθαι, μέγα μέρος εἰς τοῦτο ἡ τῶν χρημάτων κτῆσις συμβάλλεται. Πλ. πολ. 331. Στρατηγοὺς οἱ νομοφύλακες προβαλλέσθων. Πλ. νό. 755. Οἱ πατέρες πολὺ μᾶλλον ἐντέλλονται ἐπιμελεῖσθαι εὐκοσμίας τῶν παίδων ἢ γραμμάτων τε καὶ κιθαρίσεως. Πλ. Πρω. 325. Σωκράτης ἐθαύμαζεν εἴ τις ἀρετὴν ἐπαγγελλόμενος ἀργύριον πράττοιτο. Ξε. ἀπ. 1, 2, 7.

A. 6. Aehnlich schwankt die Bedeutung bei manchen Medien die eine äußerliche Thätigkeit bezeichnen. So steht τίθεσθαι entweder mit Bezug auf die Kraftäußerung oder darauf daß dem Subject das Object angehört; τὰ ὅπλα sich aufstellen oder Halt machen. [zu Xe. An. 1, 5, 14. 6, 4.] Hieher gehört wohl auch ἀποδίδοσθαι verkaufen, eig. das Seinige als ein Schuldiges (ἀπο-) fortgeben. [zu Th. 6, 62, 4.] Ἀλκιβιάδης ὑπὲρ τοῦ δήμου ἔθετο τὰ ὅπλα. Δη. 21, 145. Σὺν τῷ νόμῳ δεῖ τὸν δικαστὴν τὴν ψῆφον τίθεσθαι. Ξε. Κυ. 1, 3, 17. Μόνῳ τῷ τυράννῳ οὔτε ἔχειν οὔτε καταθέσθαι τὰ κακὰ λυσιτελεῖ. Ξε. Ἱέρ. 7, 13. Οὐχ ἁπλῶς οὕτω κυρία ἐστὶ διαθήκη ἣν ἄν τις διάθηται. Πλ. νό. 922. Οἱ μεταβαλλόμενοι τὰς ἐργασίας οὐδὲ πρὸς ἓν τῶν ἔργων ἀκριβῶς ἔχουσιν. Ἰσ. 11, 16. Ἰδιῶται συνιστάμενοι καὶ κοινούμενοι τὴν τύχην ἀσφαλέστερον κινδυνεύουσιν. Ξε. π. πό. 4, 32. Συσκευάζου ὦ Κῦρε· ἤδη γὰρ εἰς θεοὺς ἄπει. Ξε. 8, 7, 2. Ἀναξίβιος τοὺς ὑπολελειμμένους ἀπέδοτο· ὁ δὲ Κλέανδρος οὐδένα ἐπεπράκει. Ξε. ἀν. 7, 2, 6.

A. 7. [8.] Anfangen heißt ἄρχειν (eig. der erste sein) in sofern ein Anderer, ἄρχεσθαι in sofern das Subject selbst als fortsetzendes zu denken ist. [zu Xe. An. 1, 3, 1 u. 6, 5.] Ἦ ὀκνεῖς ἄρξαι, μὴ αἰσχρὸς φανῇς, ἐὰν πρότερος τὸν ἀδελφὸν εὖ ποιῇς; Ξε. ἀπ. 2, 3, 14. Ἀρχόμενοι πάντες ὀξύτερον ἀντιλαμβάνονται. Θ. 2, 8, 1. [Πολέμου οὐκ ἄρξομεν, ἀρχομένους δὲ ἀμυνούμεθα. Θ. 1, 144, 3. u. dort die A. Vgl. Hermann Ueber Böckhs Behandlung der gr. Inschriften S. 127 f.]

A. 8. [7.] Auch von Intransitiven giebt es neben den Activen Media mit dem A. 4 angegebenen Unterschiede, der sich aber im Einzelnen mannigfach modificirt. So heißt στρατεύειν einen Feldzug machen, στρατεύεσθαι Kriegsdienste thun, auch wo es für στρατεύειν zu stehen scheint mehr die Werkthätigkeit als die bloße Thatsache bezeichnend, πολιτεύειν Bürger sein, als Bürger leben [z. Th. 4, 114, 1], πολιτεύεσθαι bürgerliche oder Staatsgeschäfte treiben; πρεσβεύειν Gesandter sein, πρεσβεύεσθαι durch eine Gesandtschaft verhandeln (bei Thuk., der es auch für das Activ gebraucht vgl. zu 1, 31, 3) oder auch Gesandten sein lassen, als Gesandten schicken nach 11 A. 1; βουλεύειν Rath sein, Rath geben, (im Ao. auch) festsetzen; βουλεύεσθαι erwägen, sich berathen, Entschlüsse fassen; συμβουλεύειν rathen, συμβουλεύεσθαι mit Jemand erwägen, ihn um Rath fragen. Dagegen ἀνακοινοῦν (τινί τι oder περί τινος) Jemand wegen etwas befragen; ἀνακοινοῦσθαι sich mit Jemand berathen. [zu Xe. An. 5, 6, 36 lat. A.] Οὐκ εἰκὸς ἀρχὴν ἐπὶ ἀρχὴν στρατεῦσαι. Θ. 6, 11, 2. Ὁ μὴ στρατευόμενος τὸ κοινὸν ἀδικεῖ. Ἀρλ. ῥητ. 1, 13. Ἐλθὼν εἰς Λακεδαίμονα

ἔπειθεν αὐτοὺς στρατεύσασθαι. Λυ. 12, 58. — Γιγνώσκω τῶν ἀνθρώπων ἀσφαλέστατα τούτους οἰκεῖν οἳ ἂν τοῖς παροῦσιν ἤθεσι καὶ νόμοις, ἢν καὶ χείρω ᾖ, ἥκιστα διαφόρως πολιτεύωσιν. Θ. 6, 18, 8. Μάλιστα τούτους τιμῶσιν ἅπαντες καὶ θαυμάζουσιν οἵτινες ἀμφότερα δύνανται, καὶ πολιτεύεσθαι καὶ στρατηγεῖν. Ἰσ. 5, 140. Τὸ φιλόπολι οὐκ ἐν ᾧ ἀδικοῦμαι ἔχω, ἀλλ' ἐν ᾧ ἀσφαλῶς ἐπολιτεύθην. Θ. 6, 92, 3. — Ἀβραδάτης πρὸς τὸν Βακτριανῶν βασιλέα πρεσβεύων ᾤχετο. Ξε. Κυ. 5, 1, 2. (Οἱ Κορίνθιοι ἦλθον ἐς τὰς Ἀθήνας πρεσβευσόμενοι. Θ. 1, 31, 2. Ὁ Γύλιππος ἐς τὴν Θουρίαν πρεσβευσάμενος ἄρας παρέπλει τὴν Ἰταλίαν. Θ. 6, 104, 3.) Πρεσβευομένοις τοῖς Ἀθηναίοις πανταχόσε βοηθεῖν οὐδεὶς ἤθελεν. Πλ. νό. 698. — Βουλεύειν οὐκ ἔξεστι νεωτέροις τριάκοντα ἐτῶν. Ξε. ἀπ. 1, 2, 36. Ἡ σώφρων πόλις τῷ πλεῖστα εὖ βουλεύοντι προστίθησι τιμήν. Θ. 3, 42, 5. Μὴ ταχεῖς ἔστε περὶ ἀνδρὸς βουλεῦσαί τι ἀνήκεστον. Θ. 1, 132, 5. Ἐπὶ Κέκροπος αὐτοὶ ἕκαστοι ἐπολιτεύοντο καὶ ἐβουλεύοντο. Θ. 2, 15, 1. Οὐδεὶς μετ' ὀργῆς ἀσφαλῶς βουλεύεται. Μέ. μο. 415. Ταὐτόματον ἡμῶν κάλλιον βουλεύεται. Μέ. 726. Οἱ Πλαταιῆς ἐβουλεύσαντο Ἀθηναίους μὴ προδιδόναι. Θ. 2, 74, 1. — Συμβουλευόμεθά σοι τί χρὴ ποιεῖν· σὺ οὖν συμβούλευσον ἡμῖν ὅ, τι σοι δοκεῖ κάλλιστον εἶναι. Ξε. ἀν. 2, 1, 17. Ὁ Ξενοφῶν ἐλθὼν εἰς Δελφοὺς ἀνεκοίνωσε τῷ θεῷ περὶ τῆς πορείας. Ξε. ἀν. 3, 1, 5. Ἐν ταῖς συνουσίαις, ὅταν τι ἀνακοινῶνταί σοι, ὁρῶ σε καλῶς συμβουλεύοντα. Ξε. ἀπ. 3, 7, 3. (Τῷ δυστυχοῦντί πως τερπνὸν τὸ λέξαι κἀποκλαύσασθαι πάλιν. Εὐ. Οἰν. 6.)

A. 9. Einige Intransitive haben mediale Passive welche die leidende Affection des Subjects bezeichnen, während die Active den Zustand schlechtweg ausdrücken, wie ἀπορεῖν in Verlegenheit, rathlos sein, ἀπορεῖσθαι an Verlegenheit leiden oder verlegen hin und her schwanken. Vgl. § 40 δαπανάω. [Vgl. Schömann z. Jf. p. 192 s. u. zu Plut. Agis 17, 1.] Ὁ Νικίας ἔφη τοὺς Συρακοσίους τὰ μὲν ἀπορεῖν, τὰ δ' ἔτι ἀμηχανήσειν. Θ. 7, 48, 5. Τοῦθ' ἡμῶν ἀπορουμένων ἔτι μείζων κατεχύθη σκοτοδινία. Πλ. σο. 264. — Οὐδ' εἰ πονεῖ τις, δεῖ πόνου μνήμην ἔχειν. Σο. ΟΚ. 509. Οἱ διαπεφευγότες τὸν πονούμενον ᾠκτίζοντο. Θ. 2, 51, 4. — Οἱ Ἀθηναῖοι τοῖς ξυμμάχοις οὐ βουλομένοις ταλαιπωρεῖν προσῆγον τὰς ἀνάγκας. Θ. 1, 99, 1. Ὑμῖν ἔξεστι μηδὲν ταλαιπωρηθεῖσιν ἅπαντα διαπράξασθαι. Ἰσ. 3, 64. [Haase Lucubr. p. 44.]

9. Objectiv kann das Subject des Mediums zunächst von seiner eigenen Thätigkeit als sie erleidend afficirt werden: transitives oder passives Medium.

A. So von γεύω lasse, mache kosten, γεύομαι mache mich kosten, genieße, von ψηφίζω lasse abstimmen, ψηφίζομαι stimme, beschließe, von παύω mache aufhören, παύομαι höre auf, von λούω wasche λούομαι wasche mich, bade mich, von τάσσω und ἵστημι stelle τάσσομαι und ἵσταμαι stelle mich, von ἅπτειν heften ἅπτεσθαι berühren, angreifen, von ἔχω halte ἔχεσθαι, ἀπέχεσθαι rc., von ἱέναι werfen ἵεσθαι stürzen, ἀφίεσθαι u. μεθίεσθαι loslassen rc. Ueber ἵστασθαι mit dem Ao. στῆναι § 36, 11, 5 vgl. A. 6. Τῆς τοῦ ὄντος θέας οἵαν ἡδονὴν ἔχει ἀδύνατον ἄλλῳ γεγεῦσθαι πλὴν τῷ φιλοσόφῳ. Πλ. πολ. 582. Οἱ Ἀθηναῖοι Μιλτιάδην εἰς τὸ βάραθρον ἐμβαλεῖν ἐψηφίσαντο. Πλ. Γο. 516. Οὐδὲν ἥδιον τοῦ παύσασθαι ὀδυνώμενον. Πλ. πολ. 583. Χρὴ γυμνάζεσθαι καὶ λοῦσθαι. Πλ. νό. 942. Ἐτάξαντο ὡς ἀμυνούμενοι. Θ. 4, 35, 2. Τῶν ἀνθρώπων πρὸς τὰ λεγόμενα καὶ αἱ γνῶμαι ἵστανται. Θ. 6, 34, 7. — Πρέπει τοὺς δόξης ὀρεγομένους καὶ παιδείας ἀντιποιουμένους τῶν σπουδαίων εἶναι μιμητάς. Ἰσ. 1, 2. Τῶν πολιτικῶν πραγμάτων σφαλερόν ἐστιν ἅπτεσθαι. Ἀνδ. 4, 1. Πάντα ἐστὶ καλὰ ὅσα δικαιοσύνης ἔχεται. Πλ. νό. 859. Οὐκ ἔστιν ὅπως ἂν ἄμεινον οἰκήσειαν τὴν ἑαυτῶν ἢ ἀπεχόμενοι πάντων τῶν αἰσχρῶν. Πλ. συ. 178. Ἀλλάξαντες ἵεντο εἰς τοὺς ἀνθρώπους. Ξε. ἀν. 4, 2, 7. — Μεγαλό-

φρονας νόμιζε τοὺς καλῶν ἐφιεμένους. Ἰσ. 2, 25. Οὗτοι κράτιστοι ἕκαστα γίγνονται οἳ ἂν ἀφέμενοι τοῦ πολλοῖς προσέχειν ἐπὶ ἓν ἔργον τράπωνται. Ξε. Κυ. 2, 1, 21. Οὐκ ἂν μεθείμην τοῦ θρόνου. Ἀρ. βά. 830. Ἀγησίλαος οὐ πόνων ὑφίετο, οὐ κινδύνων ἀφίστατο. Ξε. Ἀγ. 711. — Χαλεπὸν τὰ τῶν φυλαττομένων λαμβάνειν. Ξε. ἀν. 2, 6, 24. [§ 52, 10, 7.] Εὑρήσεις ὡς ἐπὶ τὸ πολὺ τοὺς σεμνυνομένους ψυχροὺς ὄντας. Ἰσ. 2, 34. Ueber στεφανοῦσθαι und κείρεσθαι § 48, 4, 4.

10. Demnächst kann das Subject des Mediums seine Thätigkeit auch bloß für sich, in seinem Interesse ausüben: **Medium des Interesses**, der am häufigsten vorkommende Gebrauch.

A. 1. So προβάλλομαι halte mir (zum Schutze) vor, εὑρίσκομαι finde für mich, erlange, καθίσταμαι richte meinem Interesse gemäß ein rc. Κρεῖττον ἰέναι ἐπὶ τοὺς ἄνδρας προβαλλομένους τὰ ὅπλα ἢ μεταβαλλομένους. Ξε. ἀν. 6, 3, 16. Γῆ πάντα κομίζει καὶ πάλιν κομίζεται. Μέ. μο. 539. Εἱμαρμένον (δὴ) τῶν κακῶν βουλευμάτων κακὰς ἀμοιβάς ἐστι καρποῦσθαι βροτοῖς. (Εὐ.) Στ. 5, 8. Οἴμοι κακοδαίμων, ὅτι γέρων ὢν ἠγόμην γυναῖκα. Ἀρ. ἐκ. 323. Οὐκ ἔστιν οὐδὲν βαρύτερον τῶν φορτίων ὄντως γυναικὸς προῖκα πολλὴν φερομένης. Ἀντιφάνης 280. Πόλεμον αἱρομένων ὑμῶν καὶ ἐπαγομένων αὐτούς, εἰκὸς ἐλθόντας αὐτοὺς τάδε πάντα πειράσασθαι ὑπὸ σφᾶς ποιεῖσθαι. Θ. 4, 60, 2. Τὴν ἐλευθερίαν ἑλοίμην ἂν ἀντὶ ὧν ἔχω πάντων. Ξε. ἀν. 1, 7, 3. Ἐν ἑκάστῃ αἱρέσει τὸν τεχνικώτατον δεῖ αἱρεῖσθαι. Πλ. Γο. 455. Ἡ πόλις ἡμῶν πρώτη νόμους ἔθετο καὶ πολιτείαν κατεστήσατο. Ἰσ. 4, 39. Χρὴ πάντα ἄνδρα ἡγησάμενον τὴν ἐγκράτειαν ἀρετῆς εἶναι κρηπῖδα, ταύτην πρῶτον ἐν τῇ ψυχῇ κατασκευάσασθαι. Ξε. ἀπ. 1, 5, 4. Βίον πορίζου πάντοθεν πλὴν ἐκ κακῶν. Μέ. μο. 63. — Διονύσιος μεγάλην δύναμιν περιεβάλετο. Ἰσ. 5, 65. Θνητοῖς ἀρήγων αὐτὸς εὑρόμην πόνους. Αἰσ. Προ. 267. Ἐπειδάν τις τοὺς πολίτας ἀνδραποδισάμενος δουλώσηται, εὐδαίμονες καὶ μακάριοι κέκληνται. Πλ. πολ. 344. Μῶρος εἴ τις χρημάτων ἐπιθυμῶν ἧτταν προσίεται. Ξε. Κυ. 3, 3, 45. Θρασύλλος ὁπλίτας κατελέξατο χιλίους. Ξε. Ἑλ. 1, 1, 34. Εἶδε τὴν τοῦ γελωτοποιοῦ Θερσίτου ψυχὴν πίθηκον ἐνδυομένην. Πλ. πολ. 620. Τῆς Θρᾴκης ἡμῖν ἐξέσται ἀποτεμέσθαι χώραν. Ἰσ. 8, 24.

A. 2. Dieses Medium findet sich auch von manchen Verben die ein mediales Passiv haben. (Τὴν παρ' ἑαυτῷ δύναμιν ἠθροίσατο. Ξε. Κυ. 3, 1, 19.) Μέγα μὲν ἔργον καὶ τὸ ἀρχὴν καταπρᾶξαι, πολὺ δ' ἔτι μεῖζον λαβόντα διασώσασθαι. Ξε. Κυ. 7, 5, 76. Ὅσα ἠνέγκω, πάντα εἰς τὸ κοινὸν κατέθηκας. Ξε. οἰκ. 7, 13. Δεῖ μένοντας αὐτοὺς περὶ τὴν ἀγορὰν τὰ μὲν ἀντ' ἀργυρίου ἀλλάξασθαι τοῖς τι δεομένοις ἀποδόσθαι, τοῖς δὲ ἀντὶ αὖ ἀργυρίου διαλλάττειν ὅσοι τι δέονται πρίασθαι. Πλ. πολ. 371.

A. 3. Von einigen Verben findet sich dieses Medium sogar neben dem transitiven A. 9. Ueber στήσασθαι § 36, 11, 6. Ἡ πόλις Ἀγησίλαον ἐστήσατο βασιλέα. Ξε. Ἀγ. 1, 5. Ὡμολόγησαν Αἰγινῆται τοῖς Ἀθηναίοις φόρον ταξάμενοι. Θ. 1, 108, 3. Παρασκευάζεσθε τὸν πόλεμον. Θ. 1, 25, 3. (Παρῄνει παρασκευάζεσθαι ἐς τὸν πόλεμον. Θ. 2, 13, 2.) Vgl. z. Th. 1, 85, 3.

A. 4. Von manchen Verben schwanken die Media zwischen der Bedeutung 10 und 8 A. 6. So heißt ἄγομαι ich führe mir und führe das Meinige: κομίζομαι trage für mich und erhalte als mir Zustehendes (zurück); φέρομαι trage oder erhalte für mich und mir Gebührendes rc. Ναῦς γέμει φορτίων ὅσα ναύκληρος κέρδους ἕνεκα ἄγεται. Ξε. οἰκ. 8, 12. Σώφρονα ἀντὶ αἰσχρᾶς κομίσασθε χάριν. Θ. 3, 58, 1. Ἂν παύσησθε αὐτὸς οὐδὲν ἕκαστος ποιήσειν ἐλπίζων, τὰ ὑμέτερ' αὐτῶν κομιεῖσθε. Δη. 4, 7. Πονεῖν με χρή, πονοῦντα δ' ἄξιον μισθὸν φέρεσθαι. Εὐ. Ῥῆσ. 162. [z. Th. 3. 17, 2.] Οὐκ ἐγὼ ὁ λέγων, ἀλλ' ὁ πράξας τὴν ἀπέχθειαν αὐτῶν δίκαιος φέρεσθαί ἐστιν. Ἀντ. 3, 13, δ, 2. Ἡ κολακευτικὴ τῷ ἀεὶ ἡδίστῳ θηρεύεται

τὴν ἄνοιαν καὶ ἐξαπατᾷ. Πλ. Γο. 464. Πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά. Σο. Ἠλ. 1054. Καθίσταντο δ, τι αὐτοῖς ἐδόκει μὴ καλῶς ἔχειν. Θ. 5, 12. Εἰ ὀρθῶς προὐθυμήθην καί τι ἠνυσάμην, ἐκεῖσε ἐλθόντες τὸ σαφὲς εἰσόμεθα. Πλ. Φαίδ. 89. Χρὴ μηδενὸς κέρδους τὰ κοινὰ δίκαια προέσθαι. Δη. 6, 10.

A. 5. Manche Media werden, wenn auch von der Grundbedeutung des Activs ausgegangen, doch in eigenthümlichen Beziehungen gebraucht. So heißt αἰτεῖν fordern schlechtweg, αἰτεῖσθαι für sich fordern, auch borgweise, und bitten; θύειν opfern, θύεσθαι für sich opfern d. h. um die Zukunft zu erforschen [Kr. ind. ad. Xe. An. in θύειν]; γράφειν schreiben, γράφεσθαι nicht bloß für sich schreiben, sondern auch anklagen und für sich gesetzlich bestimmen. Eben so τίθεσθαι z. B. νόμον, während τιθέναι nur von dem Vorschlagen oder Aufstellen eines Gesetzes gesagt wird, gleichgültig ob für sich oder für Andere. Ἆρα τὸ θύειν δωρεῖσθαί ἐστι τοῖς θεοῖς, τὸ δ' εὔχεσθαι αἰτεῖν τοὺς θεούς; Πλ. Εὐθύφ. 14. Οὐ θέμις ἐστὶ μὴ φυλαττομένους σωτηρίαν αἰτεῖσθαι παρὰ τῶν θεῶν. Ξε. Κυ. 1, 6, 6. Ἐθυόμην εἰ βέλτιον εἴη ὑμῖν ἐμοὶ ἐπιτρέψαι ταύτην τὴν ἀρχήν. Ξε. ἀν. 5, 9, 31. — Ἐγραψάμην οἴκαδ' ἐλθὼν ὑπομνήματα, ὕστερον δὲ κατὰ σχολὴν ἀναμιμνησκόμενος ἔγραφον. Πλ. Θε. 142. Ἀθηναίους ἔπεισαν οἱ γραψάμενοι Σωκράτην ὡς ἄξιος εἴη θανάτου τῇ πόλει. Ξε. ἀπ. 1, 1, 1. Ὅσα τὸ πᾶν πλῆθος γράφει μὴ πεῖσαν βίᾳ μᾶλλον ἢ νόμος ἂν εἴη. Ξε. ἀπ. 1, 2, 45. Τίνας νόμους πόλεως νομίζεις; Ἃ οἱ πολῖται, ἔφη, συνθέμενοι ἅ τε δεῖ ποιεῖν καὶ ὧν ἀπέχεσθαι ἐγράψαντο. Ξε. ἀπ. 4, 4, 13. Οἱ ἄρχοντες ἐπιχειροῦντες νόμους τιθέναι τοὺς μὲν ὀρθῶς τιθέασι, τοὺς δέ τινας οὐκ ὀρθῶς. Πλ. πολ. 339. Ὅταν νομοθετώμεθα, ὡς ἐσομένους ὠφελίμους τοὺς νόμους τιθέμεθα. Πλ. Θε. 178. Τοὺς ἀγράφους νόμους οὐχ οἱ ἄνθρωποι ἔθεντο, ἀλλὰ θεοὶ τοῖς ἀνθρώποις ἔθεσαν. Ξε. ἀπ. 4, 4, 19.

A. 6. In manchen Fällen schwankt der Gebrauch zwischen dem Activ und Medium. So sagte man τρόπαιον ἱστάναι, wie Thuk. immer, und ἵστασθαι. Selbst wo eine bestimmtere Beziehung auf das Subject vorliegt, schien es doch nicht immer gerade nöthig das für sich durch die Wahl des Mediums auszudrücken. So findet sich (εἰς)πράττειν statt (εἰς)πράττεσθαι für sich einfordern und bei Thuk. und Ar. an mehreren Stellen μεταπέμπειν statt μεταπέμπεσθαι für, zu sich nach Jemand schicken d. h. ihn kommen lassen. [z. Th. 1, 112, 1.] Οὐδέποτε Ἀλκιβιάδου ἡγουμένου τρόπαιον ὑμῶν ἔστησαν οἱ πολέμιοι. Ἰσ. 16, 21. Οἱ θεοὶ πολλῶν ὄντων ἐναντίων ὀλίγοις οὖσι τρόπαια ἵστασθαι διδόασιν. Ξε. Ἑλ. 2, 4, 14. Πάνυ πικρῶς εἰςπράττει με, ὥσπερ καὶ παρὰ τῶν ἄλλων εἰςπέπρακται. Δη. 35, 44. Ἡμεῖς γε χωρὶς τῶν ἀναγκαίων κακῶν αὐτοὶ παρ' αὑτῶν ἕτερα προςπορίζομεν. Μέ. 520 f. — Βασιλεὺς αὐτὸν μεταπέμπεται, πέμψας ἀγγέλους. Ξε. Ἑλ. 2, 1, 8.

A. 7. Einige Intransitive erhalten als Media eine Bedeutung, bei der sie eines Accusativs empfänglich sind. So von ἀμύνειν [wehren,] helfen ἀμύνεσθαι sich helfen, τινά sich gegen Jemand vertheidigen und Jemand vergelten (Thuk.); von τιμωρεῖν helfen τιμωρεῖσθαι sich an Jemand rächen, ihn bestrafen, ulcisci, von φυλάσσειν wachen φυλάσσεσθαί τινα, τι sich vor Jemand, Etwas hüten. [z. Th. 6, 87, 2.] Τὸν ἐπιόντα πολέμιον ὅσιόν ἐστιν ἀμύνεσθαι. Θ. 3, 56, 1. Τὸν εὖ καὶ κακῶς δρῶντα ἐξ ἴσου ἀρετῇ ἀμυνούμεθα. Θ. 4, 63, 2. Γενναῖόν ἐστι τοὺς ὁμοίους ἀπὸ τοῦ ἴσου τιμωρεῖσθαι. Θ. 1, 136, 3. Αἰδεῖσθαι χρὴ γύναι τὸ λίαν καὶ φυλάσσεσθαι φθόνον. Εὐ. Ἀντιόπη 8.

A. 8. Das Interesse kann auch durch Entfernung des Objects vom Subject erreicht werden. So πέμπεσθαι von sich fortschicken, τρέπεσθαι, τρέψασθαι von sich wenden, in die Flucht schlagen, während τρέπεσθαι, τραπέσθαι sich wenden, fliehen bedeutet. Ἡ Ἀθηναίων πόλις ὥσπερ νῆσος πᾶσιν ἀνέμοις προςάγεται ὧν δεῖται καὶ ἀποπέμπεται ἃ βούλεται. Ξε. π. πό. 1, 7. Οἱ ἄνθρωποι κακοπραγίαν, ὡς εἰπεῖν, ῥᾶον ἀπωθοῦνται ἢ εὐδαιμονίαν

διασώζονται. Θ. 3, 39, 4. Ἀθηναῖοι πρόβατα καὶ ὑποζύγια ἐς τὴν Εὔβοιαν διεπέμψαντο. Θ. 2, 14, 1. Αἱ πόλεις οὐ ῥᾴδιον εἰπεῖν ὅσην μὲν ἡδονὴν ἔχουσιν ἐν τῷ τρέψασθαι τοὺς πολεμίους, ὅσην δὲ ἐν τῷ διώκειν. Ξε. Ἱέρ. 2, 15. Οἱ Ἕλληνες τὸ πάλαι ἐτράποντο πρὸς λῃστείαν. Θ. 1, 5, 1.

A. 9. Nicht alle Verba haben ein Medium. Auskunft über die einzelnen giebt das Verzeichniß der anomalen Verba. Selbst von denen die ein Medium oder ein mediales Passiv haben veranlaßt doch oft Deutlichkeit oder Gegensatz (besonders statt des transitiven Mediums) das Activ mit dem Reflexiv zu wählen. Πολλοὶ τῶν δυστυχησάντων ἀνέλαβον αὑτούς. Ἰσ. 6, 40. — Ὡς ἂν δύναιτο ἄνθρωπος ζῆν ἄνευ τῶν ἐπιτηδείων, οὐδεὶς τοῦτο αὐτὸς αὑτὸν πείθει. Ξε. οἰκ. 20, 15. [z. Th. 6, 33, 1.] Σαυτὸν φύλαττε τοῖς τρόποις ἐλεύθερον. Μέ. μο. 485. — Κῦρος ἐθήρευεν, ὁπότε γυμνάσαι βούλοιτο ἑαυτόν τε καὶ τοὺς ἵππους. Ξε. ἀν. 1, 2, 7. Τοῦ εὐτυχεῖν ἀεὶ πάρεχε σεαυτὸν τοῖς ὁρῶσιν ἄξιον. Μέ. 295. Εἰς πολλὰς ταραχὰς καταστήσομεν ἡμᾶς αὐτούς. Ἰσ. 6, 107. Εὔφραινε σαυτόν, πῖνε. Εὐ. Ἄλκ. 788. Μὴ θέλε λυπεῖν σεαυτόν, εἰδὼς πολλάκις ὅτι καὶ τὸ λυποῦν ὕστερον χαρὰν ἄγει. Εὐ. Ἀντιγ. 14. Ἰάσων λόγῳ μόνον χρησάμενος αὑτὸν ηὔξησεν. Ἰσ. 5, 120.

A. 10. Eben so veranlassen Deutlichkeit und Gegensatz oft auch dem Medium noch das Reflexiv beizufügen, nicht bloß wo es, wie bei dem dynamischen Medium, des Sinnes halber nothwendig ist. Οἱ στρατιῶται προθύμους αὑτοὺς ἐν τοῖς κινδύνοις παρείχοντο. Πλ. νό. 694. Ἡ γυνὴ κατασκοπεῖται θαμὰ ἑαυτήν, ἐπισκοπεῖ δὲ καὶ εἴ τις ἄλλος αὐτὴν θεᾶται. Ξε. ἀπ. 2, 1, 22. Ἑαυτὸν ἀποκρύπτεται ὁ ποιητής. Πλ. πολ. 393. (Φθήσονται ἢ κακῶσαι ἡμᾶς ἢ σφᾶς αὐτοὺς βεβαιώσασθαι. Θ. 1, 33, 3.) Οὐδαμῇ προΐεντο ἑαυτούς. Δη. 19, 139. — Ὁ γεωργὸς οὐκ αὐτὸς ποιήσεται ἑαυτῷ τὸ ἄροτρον, εἰ μέλλει καλὸν εἶναι. Πλ. πολ. 370. Ἐάν τι μέρος τῆς πόλεως εἰρήνην ἢ πόλεμον πρός τινας ἑαυτῷ ποιῆται, θάνατος ἔστω δίκη. Πλ. νό. 955. Ἀρχὴν καὶ τυραννίδα τῶν Ἑλλήνων ὁρῶσιν ἑαυτῷ κατασκευαζόμενον Φίλιππον. Δη 18, 66. Ὅσ' ἂν αὐτὸς ἑαυτῷ πορίσηται ἐπαινοῦμεν. Δη. 8, 22. Ἐγὼ τὸν νόμον ἐμαυτῷ τίθεμαι δοκιμάζων ὥσπερ εἴρηται ποιεῖν. Διόδ. κω. 3. [Ueber σφίσιν z. Th. 7, 5, 1.]

A. 11. Den Medien entsprechen rücksichtlich der Bedeutung z. Th. die Passiva, besonders den 10 erwähnten. So heißt αἱρεῖσθαι wählen und gewählt werden, μεταπέμπεσθαι herbeikommen lassen und herbeigerufen werden. An der Form ersichtlich ist der Unterschied nur in den Aoristen und Futuren. Βασιλεὺς αἱρεῖται, ἵνα οἱ ἑλόμενοι διὰ τοῦτον εὖ πράττωσιν. Ξε. ἀπ. 3, 2, 3. Κλέων ᾑρέθη κατάσκοπος. Θ. 4, 27, 3. Στρατηγοὺς οἱ νομοφύλακες προβαλλέσθων, αἱρείσθων δ' ἐκ τῶν προβληθέντων πάντες οἱ τοῦ πολέμου κοινωνοὶ γενόμενοι. Πλ. νό. 755. Ἃ ἔλεγον ἐγὼ ἐψήφιστο ὑφ' ὑμῶν. Δη. 19, 157. Μετεπέμφθη ὑπὸ Ἀρχεβιάδου. Λυ. 14, 26. Ἀποχρώντως ἤδη τετιμωρήμεθα. Θ. 7, 77, 3. Γραφεὶς τὸν ἀγῶνα τοῦτον εἰς ὑμᾶς εἰςῆλθον. Δη. 18, 103. Οἱ κυκλούμενοι ἐκυκλώθησαν. Ξε. Κυ. 6, 3, 20. [z. Th. 3, 111, 1.]

11. Endlich bezeichnet das Medium auch eine Handlung die auf Befehl oder Veranlassung des Subjects für dasselbe geschicht.

A. 1. Es steht in diesem Falle eben so das Medium, wie oft auch das Activ gebraucht wird, wenn das Subject die Handlung auch nur ausführen läßt (jubet). vgl. § 52, 1, 4. Ὅσῳ ἂν πλείω τις παράθηται τὰ περιττὰ τῶν ἱκανῶν, τοσούτῳ καὶ θᾶττον κόρος ἐμπίπτει τῆς ἐδωδῆς. Ξε. Ἱέρ. 1, 19. Ἢν ἀθρόον τὸ ποτὸν ἐγχεώμεθα, ταχὺ ἡμῖν καὶ τὰ σώματα καὶ αἱ γνῶμαι σφαλοῦνται. Ξε. συ. 2, 26. Ἔπινον καὶ εὐωχοῦντο καὶ ηὐλοῦντο καὶ πάσης εὐθυμίας ἐνεπίμπλαντο. Ξε. Κυ. 4, 5, 7. Θεμιστοκλῆς Κλεόφαντον τὸν υἱὸν ἱππέα ἐδιδάξατο ἀγαθὸν καὶ ἄλλα πολλὰ αὐτὸν ἐπαιδεύσατο. Πλ. Μέ. 93. Ἀγησίλαος τοῦ σώματος εἰκόνα στήσασθαι ἀπέσχετο. Ξε. Ἀγ. 11, 7. Τὴν

οὐσίαν οὐ δικαζόμενος, ἀλλ' ἐργαζόμενος κέκτηται. Ἀντ. 2, β, 12. Αἱ εὐπορίαι τοῖς ἐργαζομένοις οὐκ ἀπὸ τῶν δανειζομένων, ἀλλ' ἀπὸ τῶν δανειζόντων εἰσίν. Δη. 34, 51. Οὐ καλὸν ἐχθροῖς γαμεῖσθαι. Σο. Ἠλ. 594. Ἐκεῖνος οὐκ ἔγημεν ἀλλ' ἐγήματο. Ἀνακρ. bei Ἀμμών. in γῆμαι.

(A. 2. Διδάσκεσθαι kann auch heißen sich Jemand als Schüler bilden. Οὓς ἂν διδάσκῃ, χείρους δημιουργοὺς διδάξεται. Πλ. πολ. 421, 1.)

A. 3. Durch lassen (sinere, pati) können zuweilen auch Passive übersetzt werden. Οὗτος κράτιστός ἐστ' ἀνὴρ ὦ Γοργία ὅστις ἀδικεῖσθαι πλεῖστ' ἐπίστατ' ἐγκρατῶς. Μέ. 95. Πείσομαι τῷ ἄρχοντι, ἵνα εἰδῆτε ὅτι καὶ ἄρχεσθαι ἐπίσταμαι. Ξε. ἀν. 1, 3, 15.

§ 53. Zeitformen.

I. Präsens und Imperfect.

Vorer. 1. Jede Zeitbestimmung ist relativ, d. h. sie bedarf der Beziehung auf eine andere, mit Rücksicht auf die sie erscheint als was sie vorgestellt wird. Es giebt mithin kein an sich absolutes Tempus. Am wenigsten ist ein solches das Präsens, das einen zwiefachen Gegensatz hat, den der Vergangenheit und den der Zukunft, deren Grenzscheide es bildet.

2. Die Gegenwart im strengsten Sinne ist so wenig eine Zeit als die Linie oder der Punkt ein Raum ist. Die Zeit verharrt nicht; der Laut, kaum verhallt, gehört schon der Vergangenheit an. Selbst der Augenblick, eben so theilbar wie das Sandkorn, beschränkt sich nicht auf die Gegenwart.

3. Die Gegenwart im strengsten Sinne ist demnach als ein zeitloser Punct zu denken der auf der unendlichen Linie der Zeit rastlos aus der Vergangenheit in die Zukunft forteilt. Wenn gleich sie indeß für keine Handlung ausreicht, so ist sie doch das Princip für alle praktische Zeitbestimmung.

1. Das grammatische Präsens bezeichnet eine Handlung die mit dem Moment der Gegenwart in unmittelbarer Berührung gedacht wird, so daß die Handlung 1) entweder mit ihm abschließt oder 2) mit ihm anhebt oder auch 3) nach beiden Seiten sich über ihn hin erstreckt, was das gewöhnlichste ist. Unbestimmt bleibt es dabei wann im ersten und dritten Falle die Handlung begonnen habe, so wie wann sie im zweiten und dritten als abgeschlossen zu denken sei. Daher kann das Präsens auch unbeschränkte Dauer bezeichnen: allzeitiges Präsens. *Ὁ θεός τε καὶ τὰ τοῦ θεοῦ πάντῃ ἄριστα ἔχει. Πλ. πολ.* 381. — *Πλοῖον εἰς Δῆλον Ἀθηναῖοι πέμπουσιν* (erg. *κατ' ἐνιαυτόν*). *Πλ. Φαίδ.* 58.

A. 1. Zum dritten Falle gehört es auch wenn die Handlung welche um den Moment der Gegenwart liegt eine unterbrochene ist, die mehrfachen Erscheinungen jedoch zusammen ein Ganzes bilden. Eben so erscheint es auch in Erfahrungssätzen und Gnomen, neben dem Aorist und Perfect. vgl. 10 A. 2. Οὐ μόνον ἀεὶ τὰ αὐτὰ λέγω, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν. Ξε. ἀπ. 4, 4, 6. — Τὰ μετὰ γυναικὸς εἰςιόντ' εἰς οἰκίαν οὔτ' ἀσφαλῆ τὴν κτῆσιν οὔθ' ἱλαρὰν ἔχει. Μέ. 572. Τὰ μὲν ἄλλα καὶ πόλεμος καὶ μεταβολὴ τύχης ἀνήλωσ', ἡ τέχνη δὲ σώζεται. Ἱππάρχ. 2. Ῥώμη ἀμαθὴς πολλάκις τίκτει βλάβην. Εὐ. Τημ. 11.

A. 2. Eine Ausdehnung des ersten Falles ist es, wenn die Handlung, obgleich schon vor dem Moment der Gegenwart abgeschlossen, doch, weil sie durch eine fortbestehende Wirkung mit ihr in Verbindung steht, durch das Präsens ausgedrückt wird. So gebraucht man z. B. ἀκούω, [poetisch κλύω,] πυνθά-

νομαι, αἰσθάνομαι, μανθάνω (im Dialog unser ich verstehe) statt ihrer Perfecte, wenn der Inhalt des Vernommenen als noch in der Gegenwart vorschwebend zu denken ist. [zu Xe. An. 1, 3, 20 u. Krit. Anal. 1 S. 155.] Θεμιστοκλέα οὐκ ἀκούεις ἄνδρα ἀγαθὸν γεγονότα καὶ Περικλέα; οὔ καὶ σὺ ἀκήκοας. Πλ. Γο. 503. Οἱ Σικελιῶται στασιάζουσιν, ὥσπερ πυνθανόμεθα. Θ. 6, 17, 3. [zu Xe. An. 2, 1, 4.] Ἐπὶ πόλεις, ὡς ἐγὼ ἀκοῇ αἰσθάνομαι, μέλλομεν ἰέναι μεγάλας. Θ. 6, 20, 1. [z. Th. 6, 17, 4.] Ἄρτι γιγνώσκεις τόδε, ὡς πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ. Εὐ. Μήδ. 85. Ἀναμενεῖς παρὰ τὸν Αὑαίνου λίθον μανθάνεις; πάνυ μανθάνω. Ἀρ. βά. 194. Τί καλεῖς; Ξε. ἀν. 3, 4, 39. Τὴν τῶν βαρβάρων ἀπιστίαν λέγει μὲν Κλεάνωρ, ἐπίστασθε δ', οἶμαι, καὶ ὑμεῖς. Ξε. ἀν. 3, 2, 8. Οὐ πάλαι σοι λέγω ὅτι ταὐτόν φημι εἶναι τὸ βέλτιον καὶ τὸ κρεῖττον; Πλ. Γο. 489. [zu Xe. An. 3, 2, 8.]

A. 3. So erhielten mehrere Präsentia neben ihrer eigentlichen eine Art von Perfect-Bedeutung, wie φεύγω ich fliehe und ich bin verbannt, ἁλίσκομαι ich werde und (seltener) ich bin gefangen, erobert [z. Th. 1, 23, 2.], νικῶ und κρατῶ ich werde und bin Sieger, ἡττῶμαι ich werde und bin besiegt, ἀδικῶ ich fehle und habe gefehlt, bin ein ἄδικος. [Heindorf zu Pl. Prot. 4.] Ξυνέβη τῷ Θουκυδίδῃ φεύγειν τὴν ἑαυτοῦ ἔτη εἴκοσιν. Θ. 5, 26, 5. Πόλεις εἰσὶν αἳ οἰκήτορας μετέβαλον ἁλισκόμεναι. Θ. 1, 23, 2. Τἀγαθὰ τῶν κρατούντων ἐστίν. Ξε. ἀν. 3, 2, 26. Μάχῃ τῇ πρώτῃ νικᾶται ὑφ' ἡμῶν. Θ. 7, 11, 2. Τῶν νικώντων ἐστὶ καὶ τὰ ἑαυτῶν σώζειν καὶ τὰ τῶν ἡττωμένων λαμβάνειν. Ξε. ἀν. 3, 2, 39. Τιμωροῦνται καὶ κολάζονται οἱ ἄνθρωποι οὓς ἂν οἴωνται ἀδικεῖν. Πλ. Πρω. 324. Vgl. An. 5, 7, 29.

A. 4. Immer eine Art Perfect-Bedeutung haben ἥκω bin da (angekommen) und οἴχομαι bin fort (gegangen). Ihre Imperfecte erscheinen eigentlich als Plusquamperfecte, wobei aber ἧκον seiner Bedeutung gemäß dem Aorist synonymer Verba entspricht. Beide Tempora kann ᾠχόμην ausdrücken. Auch von den Verben A. 3 finden sich Imperfecte wo wir die Aoriste erwarten würden. Θεμιστοκλῆς ἥκω παρὰ σέ, καὶ ἔχων σε μεγάλα ἀγαθὰ δρᾶσαι πάρειμι. Θ. 1, 137, 4. Ἡ φύσις οἴχεται, ὅταν γλυκείας ἡδονῆς ἥσσων τις ᾖ. Εὐ. Ἀντιόπη 23. — Ὁ ὄχλος κατὰ θέαν ἧκεν. Θ. 6, 31, 1. Καταλαμβάνει τὴν θυγατέρα τοῦ κωμάρχου· ὁ δὲ ἀνὴρ αὐτῆς λαγὼς ᾤχετο θηράσων. Ξε. ἀν. 4, 5, 24. Θεμιστοκλῆς ταῦτα διδάξας ᾤχετο. Θ. 1, 90, 4. Ἐνικῶμεν τὴν βασιλέως δύναμιν καὶ καταγελάσαντες ἀπήλθομεν. Ξε. ἀν. 2, 4, 4.

A. 5. Von den A. 3 u. 4 erwähnten Verben, namentlich von ἥκω, νικῶ, κρατῶ, ἡττῶμαι, erscheinen die Conjunctive und Optative wie sonst diese Modi des Aorists, in hypothetischen und temporalen Sätzen, auch in der Bed. des lat. futuri exacti. Vgl. 6 A. 5 u. zu Xe. An. 1, 4, 13. 8, 12. Ὅπως μὴ ἀπολῇ, ἂν μαθὼν ἥκῃς ἀντὶ τοῦ βασιλικοῦ τὸ τυραννικόν. Ξε. Κυ. 1, 3, 13. Κῦρος εὔχετο τοσοῦτον χρόνον ζῆν, ἔστε νικῴη καὶ τοὺς εὖ καὶ τοὺς κακῶς ποιοῦντας ἀλεξόμενος. Ξε. ἀν. 1, 9, 11.

A. 6. Eine Ausdehnung des zweiten Falles ist es wenn das Präsens eine zukünftige Handlung bezeichnet die in der Gegenwart schon vorbereitet oder eingeleitet wird. Τοῖς λόγοις τοῖς ἐψευσμένοις ἀπόλλυμαι. Ἀντ. 5, 35. Ἐπεὶ δι' ἡμᾶς ἔχετε τήνδε τὴν χώραν, νῦν δὴ ἐξελαύνετε ἡμᾶς. Ξε. ἀν. 7, 7, 7. [Vgl. Th. 1, 53, 2. 2, 8, 3. 4, 95, 2.]

A. 7. Aehnlich heißen im Präsens und Imperfect διδόναι hingeben, geben wollen, und πείθειν zureden, zu bereden versuchen rc. [zu Xe. An. 6, 1, 9.] Λακεδαιμόνιοι ὑμᾶς προκαλοῦνται ἐς σπονδάς, διδόντες εἰρήνην καὶ ξυμμαχίαν. Θ. 4, 19, 1. Ἕκαστός τις ἔπειθεν αὐτὸν ὑποστῆναι τὴν ἀρχήν. Ξε. ἀν. 5, 9, 19.

(A. 8. Mit Lebhaftigkeit präcipirt das Präsens die Zukunft. So finden sich mit der Bedeutung des Futurs zuweilen πορεύομαι [zu Xe. An. 1,

3, 7.] und ἔρχομαι [z. Th. 6, 40, 2.]; regelmäßig εἶμι. vgl. 38, 3, 3. Ἡμεῖς πορευόμεθα ὅπου μέλλει ἕξειν τὸ στράτευμα τροφήν. Ξε. ἀν. 7, 3, 8. Ἡ πόλις ἥδε, εἰ ἔρχονται Ἀθηναῖοι, ἀμυνεῖται αὐτούς. Θ. 6, 40, 2. Μικρὰ εἰπὼν ἤδη καταβαίνω. Αἰ. 1, 121, 3. — Μιᾷ νίκῃ κατὰ τὸ εἰκὸς ἁλίσκονται. Θ. 2, 183. vgl. 6, 91, 2.)

(A. 9. In lebhafter Frage steht der Indicativ des Präsens synonym mit dem Indicativ des Futurs oder mit dem Conjunctiv des Präsens, indem man die Bestimmung des zu Thuenden als rein objective Ungewißheit vergegenwärtigt. Ἐὰν ἀδικήσῃ, αὐτὸν ἑκόντα δεῖ ἰέναι ἐκεῖσε ὅπου δώσει δίκην· ἢ πῶς λέγομεν; Πλ. Γο. 480. Βουλόμεθα προθυμότερον δεῖξαι αὐτοῖς ὅτι Δωριῆς ἐσμεν· ἢ μένομεν ἕως ἂν ἕκαστοι κατὰ πόλεις ληφθῶμεν; Θ. 6, 77, 2.)

A. 10. Der Infinitiv des Präsens auf die Zukunft bezogen ist, wie der des Aorists bei derselben Beziehung, eigentlich zeitlos, der letztere mehr dauerlos: ὑπέσχοντο πολεμεῖν, πρᾶξαι sie versprachen Kriegführung, Verrichtung. Ἐλπίζει δυνατὸς εἶναι ἄρχειν. Πλ. πολ. 573. Εἰκὸς τούτων θαῤῥούντων πλείους προςγενέσθαι. Ξε. ἀν. 4, 6, 9. [Vgl. z. Th. 1, 81, 2. 3, 3, 3. 5, 9, 5.]

A. 11. Mit Lebhaftigkeit macht der Geist Vergangenes zu ideeller Anschauung der Gegenwart; und so steht das sogenannte historische Präsens im Griechischen viel häufiger als im Deutschen für ein anderes Präteritum, besonders für den erzählenden Aorist. Δαρείου καὶ Παρυσάτιδος παῖδες γίγνονται δύο. Ξε. ἀν. 1, 1, 1. Ὁ ποῖος; ἆρ' ὃν Τυνδαρὶς τίκτει κόρη; Εὐ. Ἰφ. Τ. 1319. Ἐπειδή μοι παιδίον γίγνεται, ἐπίστευον ἤδη. Λυ. 1, 6.

2. Das Imperfect ist ein in die Vergangenheit zurückgetretenes Präsens, unbestimmt wie weit von dem Moment der Gegenwart entfernt. Demnach kann es an und für sich Handlungen sowohl von geringer als von ausgedehnter Dauer bezeichnen. Am häufigsten jedoch hat es den Begriff des Vorgehenden und sich Entfaltenden, des Währenden und Zuständlichen: eine Bedeutung die der Gegensatz des Aorists noch mehr zur vorherrschenden gemacht hat. *Ταῦτα τὰ γράμματα παρὰ τῷ πάππῳ τ' ἦν καὶ ἔτ' ἔστι παρ' ἐμοὶ νῦν, διαμεμελέτηταί τε ὑπ' ἐμοῦ παιδὸς ὄντος. Πλ. Κριτί.* 113. *Ἐπεὶ ὑπηντίαζεν ἡ φάλαγξ καὶ ἅμα ἡ σάλπιγξ ἐφθέγξατο καὶ ἐπαιάνιζον καὶ μετὰ ταῦτα ἠλάλαζον καὶ ἅμα τὰ δόρατα καθίεσαν, ἐνταῦθα οὐκέτι ἐδέξαντο οἱ πολέμιοι, ἀλλ' ἔφευγον. Ξε. ἀν.* 6, 3, 27. *Ὡς εἶδε τὴν καταδρομήν, ἡσυχίαν ἦγεν· οἱ δὲ εἰς φυγὴν ὥρμησαν. Ξε. Ἑλλ.* 5, 3, 1. Ueber den Gebrauch bei topographischen Angaben z. Arr. 2, 8, 9.

A. 1. Doch findet sich in manchen Fällen das Imperfect wo im Lat. das Perfect stehen müßte, wie besonders ἔλεγον, ἐκέλευον. Τῶν πρέσβεων τοὺς ἡμίσεις ἀπέστελλον. Θ. 8, 64, 1. Ἔλεγε τοῖς προέδροις ὅτι ἐςβολὴ ἔσται. Θ. 3, 25, 2. Τοὺς μὲν πρέσβεις εὐθὺς ἀπήλλαξαν, ἑαυτὸν δ' ἐκέλευεν ἀποστέλλειν ὁ Θεμιστοκλῆς. Θ. 1, 90, 3. Vgl. Reg. z. Th. u. Imperfect.

A. 2. Wie das Präsens bezeichnet das Imperfect auch eine unterbrochene Dauer, eine Wiederholung, vgl. 1 A. 1, nur daß es in Gnomen nicht statthaft ist; deßgleichen auch Vorbereitetes oder Eingeleitetes (wollte, versuchte, lief Gefahr). Vgl. 1 A. 6, 7 und Krüger zu Xen. An. 1, 3, 1. Ueber die Imperfecte von ἥκειν und οἴχεσθαι 1 A. 4. Ἐπειδὴ τῷ ψεύδεσθαι ἀπώλλυτο, ἡγήσατο τἀληθῆ κατειπὼν σωθῆναι ἄν. Ἀντ. 5, 37. Σωκράτης, ὥσπερ ἐγίγνωσκεν, οὕτως ἔλεγε, καὶ τοῖς μὲν πειθομένοις αὐτῷ συνέφερε, τοῖς δὲ μή, μετέμελεν. Ξε. ἀπ. 1, 1, 1.

(A. 3. Im historischen Vortrage beziehen sich Imperfecte wie ἔφασαν,

ἔλεγον zuweilen nicht auf die dargestellte Zeit, sondern auf die wo Berichterstatter dem Erzähler die bezüglichen Nachrichten mittheilten. Doch ist natürlich das Präsens erforderlich, wenn die Angabe als eine noch immer verbreitete zu bezeichnen ist. Λέγειν Κῦρον ἔφασαν ὅτι φίλους καλῶς κεκοσμημένους μέγιστον κόσμον ἀνδρὶ νομίζοι. Ξε. ἀν. 1, 9, 23. Τοὺς Μοσσυνοίκους ἔλεγον οἱ στρατευσάμενοι βαρβαρωτάτους διελθεῖν. Ξε. ἀν. 5, 4, 34. Kr. De auth. p. 6. 22.)

(A. 4. Bei Dingen die auch zur Zeit wo man erzählt noch bestehen gebrauchte man doch zuweilen das Imperfect, indem man den Zustand nur im Verhältnisse zu dem anderweitig Erzählten vorstellt, nur bezeichnet wie es sich fand als dieses vorging: eine Art von Assimilation. [zu Xe. An. 1, 4, 9.] Ὁ Χάλος ποταμὸς ἦν πλήρης ἰχθύων μεγάλων καὶ πραέων, οὓς οἱ Σύροι θεοὺς ἐνόμιζον καὶ ἀδικεῖν οὐκ εἴων. Ξε. ἀν. 1, 4, 9. Οἱ Ἀθηναῖοι ἔπλευσαν ἐς Αἰγὸς ποταμοὺς ἀντίον τῆς Λαμψάκου· διεῖχε δὲ ὁ Ἑλλήσποντος ταύτῃ σταδίους ὡς πεντεκαίδεκα. Ξε. Ἑλ. 2, 1, 21.)

A. 5. Ein allgemein oder doch in der Gegenwart noch gültiger Satz wird durch das Imperfect, selten durch den Aorist, ausgedrückt, in sofern er als Inhalt früherer Auffassung vorzustellen ist. (Didaktisches Ipf. vgl. z. Th. 1, 35, 4.) Ἦν ἡ μουσικὴ ἀντίστροφος τῆς γυμναστικῆς, εἰ μέμνησαι. Πλ. πολ. 522. Διαφθεροῦμεν ἐκεῖνο καὶ λωβησόμεθα ὃ τῷ μὲν δικαίῳ βέλτιον ἐγίγνετο, τῷ δὲ ἀδίκῳ ἀπώλλυτο. Πλ. Κρίτ. 47. (Οὔ με προςεδόκας, ὅτιὴ κοθόρνους εἶχες, ἂν γνῶναί σ' ἔτι. Ἀρ. βά. 556. Ὅπερ ἐν τῇ ὀλιγαρχίᾳ νόσημα ἐγγενόμενον ἀπώλεσεν αὐτήν, τοῦτο καὶ καταδουλοῦται δημοκρατίαν. Πλ. πολ. 563. Vgl. Kr. Krit. Anal. 1 S. 162 f.)

A. 6. Am häufigsten erscheint ein solches Imperfect, besonders mit ἄρα (dichterisch auch ἆρα betont) verbunden, um anzudeuten daß man die Wahrheit des Satzes früher nicht erkannt habe, jetzt aber enttäuscht einsehe. [Hermann ad Ar. Nub. 1030.] Οὐ τοῦτ' ἦν εὐδαιμονία, ὡς ἔοικε, κακοῦ ἀπαλλαγή, ἀλλὰ τὴν ἀρχὴν μηδὲ κτῆσις. Πλ. Γο. 478. Ἃ Πῶλον αἰσχύνῃ ᾤου συγχωρεῖν, ἀληθῆ ἄρα ἦν, τὸ εἶναι τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι, ὅσῳ περ αἴσχιον, τοσούτῳ κάκιον. Πλ. Γο. 508. Μέγιστον ἄρ' ἦν ἡ φύσις· τὸ γὰρ κακὸν οὐδεὶς τρέφων εὖ χρηστὸν ἂν θείη ποτέ. Εὐ. Φοῖνιξ 12. (Αἰαῖ, φίλους ἄρ' οὐχὶ κεκτήμην τάλας. Εὐ. Ἰφ. Α. 404.)

A. 7. Das Imperfect eines Verbums das über die Nothwendigkeit, Möglichkeit, Beschaffenheit einer (durch den Infinitiv angefügten) Thatsache ein Urtheil ausspricht, bezeichnet daß dieselbe nicht statt finde. So ist z. B. bei ἔδει τοῦτο γίγνεσθαι als Gegensatz zu denken ἀλλ' οὐ γίγνεται; dagegen bei ἔδει ἂν τ. γ. vielmehr ἀλλὰ δεῖ νῦν γ. [Vgl. z. Th. 1, 74, 4 u. Hermann De partic. ἄν 1, 12.] Dabei erscheint das Ipf. auch in angefügten relativen Sätzen (durch Assimilation). [z. Th. 1, 37, 3.] Ὤφελε μὲν Κῦρος ζῆν· ἐπεὶ δὲ τετελεύτηκεν, ἐπαγγελλόμεθα Ἀριαίῳ εἰς τὸν θρόνον τὸν βασίλειον καθιεῖν αὐτόν. Ξε. ἀν. 2, 1, 4. — Ὁ θεὸς ἔδειξεν οἵαν ἔδει καὶ δεῖ δὴ μενοῦσαν μάλιστα ἀρχὴν γίγνεσθαι. Πλ. νό. 692. Ζῆν οὐκ ἔδει γυναῖκα κατὰ πολλοὺς τρόπους. Μέ. μο. 198. Ἐχρῆν μὲν εἶναι τὸ καλὸν εὐγενέστατον, τὸν ἐλεύθερον δὲ πανταχοῦ φρονεῖν μέγα. Μέ. 204. Οὐκ ἐχρῆν ποτε τῶν πραγμάτων τὴν γλῶσσαν ἰσχύειν πλέον, ἀλλ' εἴτε χρήστ' ἔδρασε χρήστ' ἔδει λέγειν, εἴτ' αὖ πονηρά, τοὺς λόγους εἶναι σαθρούς. Εὐ. Ἑκ. 1187. — Εἰ πάνθ' ἃ προςῆκε πραττόντων ἡμῶν κακῶς εἶχε τὰ πράγματα, οὐδ' ἂν ἐλπὶς ἦν αὐτὰ βελτίω γενέσθαι. Δη. 4, 2. Μένειν ἐξῆν τῷ κατηγοροῦντι τῶν ἄλλων· εἰ δὲ τοῦτ' ἐποίει ἕκαστος, ἐνίκων ἄν. Δη. 3, 17. Οὐκ ἐνῆν μὴ παρακρουσθέντων ὑμῶν μεῖναι Φιλίππῳ. Δη. 19, 123. Εἰκὸς ἦν ὑμᾶς μὴ μαλακῶς, ὥσπερ νῦν, ξυμμαχεῖν. Θ. 6, 78, 4. — Αἰσχρὸν ἦν τὰ μὲν ἐμὰ διαπεπρᾶχθαι, τὰ δ' ἐκείνων περιιδεῖν ἐμὲ κακῶς ἔχοντα. Ξε. ἀν. 7, 7, 40. Οὐκ αἰσχύνῃ οὕτω μωρῶς ἐξαπατώμενος; Ναὶ μὰ Δία ᾐσχυνόμην μέντοι εἰ ὑπὸ πολεμίου γε ὄντος ἐξηπατήθην. Ξε. ἀν. 7, 6, 21. Ὁ πρῶτος εὑρὼν διατροφὴν πτωχῷ τέχνην πολλοὺς ἐποίησ' ἀθλίους, ἁπλοῦν γὰρ ἦν τὸν μὴ δυνάμενον ζῆν ἀλύπως ἀποθανεῖν. Μέ. 19. [Wie ἦν, so auch εἶναι, z. B. Th. 5, 29, 4.]

A. 8. **Bei Nebenangaben** findet sich das Imperfect, mit dem Begriffe des **Währenden**, auch für **unser Plusqpf.**, nicht bloß da wo ein Adverbium die Beziehung näher bezeichnet, sondern auch ganz für sich stehend. [Reg. zu Kr. 8 Ausgaben u. Imperfect.] Ἦσαν αἱ Ἰωνικαὶ πόλεις Τισσαφέρνους τὸ ἀρχαῖον, τότε δὲ ἀπέστησαν πρὸς Κῦρον. Ξε. ἀν. 1, 1, 6. Λέγουσιν ὅσων Εὐρυσθεὺς ἦρχε τὴν βασιλείαν Ἀτρέα παραλαβεῖν. Θ. 1, 9, 2.

A. 9. **Der Infinitiv und das Particip des Präsens**, gehören **auch dem Imperfect** an und können also die Bedeutungen desselben haben (auch die A. 8 erwähnte des Plusqpf.), nicht bloß wenn sie sich einem **Präteritum**, sondern auch wenn sie sich einem **Präsens** anschließen. (Ueber den Conjunctiv z. Th. 1, 41, 3; über den Optativ § 54, 6.) Selten steht er in der Bedeutung § 53, 2, 8. Ξενοφῶντος κατηγόρησάν τινες φάσκοντες παίεσθαι ὑπ' αὐτοῦ καὶ ὡς ὑβρίζοντος τὴν κατηγορίαν ἐποιοῦντο. Ξε. ἀν. 5, 8, 1. Ταῦτα αὐτοί τε ποιεῖτε καὶ τοὺς προγόνους ὀργίζεσθε ἐὰν μή τις φῇ ποιεῖν. Δη. 20, 119. Ἐπίστασθε Κόνωνα μὲν ἄρχοντα, Νικόφημον δὲ ποιοῦντα ὅ, τι ἐκεῖνος προστάττοι. Λυ. 19, 35. Οἱ πρὸς Ἑρμοκράτην προσομιλοῦντες μάλιστα ἐπόθησαν τήν τε ἐπιμέλειαν καὶ προθυμίαν. Ξε. Ἑλ. 1, 1, 30. Δέομαι ὑμῶν ἀκοῦσαί μου, ὥσπερ οἱ νόμοι κελεύουσιν, οὓς ὁ τιθεὶς ἐξ ἀρχῆς Σόλων κυρίους ᾤετο δεῖν εἶναι. Δη. 18, 6. Ἔλεγον ὅσα ἀγαθὰ εἴη ὅτε κοινῇ ἀμφότεροι ἔπραττον. Ξε. Ἑλ. 6, 5, 34.

II. Perfect und Plusquamperfect.

3. **Das Perfect** bezeichnet die **Abgeschlossenheit** einer Handlung mit Bezug auf die Gegenwart; es legt eine vollendete, **abgethane** Thatsache der gegenwärtigen Betrachtung vor. Daß von der Handlung in der Gegenwart ein Ergebniß bestehe ist nicht nothwendig. *Ἅ σοι τύχη κέχρηκε, ταῦτ' ἀφείλετο. Με. 559. Ἀκήκοα μὲν τοὔνομα, μνημονεύω δὲ οὔ. Πλ. Θε.* 144. *Φίλιππος τοὺς Θηβαίους μείζους ἢ προςῆκε πεποίηκεν. Δη.* 19, 112.

A. 1. Um das **Ergebniß** einer frühern Handlung als noch **bestehend** zu bezeichnen, gebrauchte man eigentlich das Particip des Perfects (oder auch des Aorists) mit εἰμί. Εἷς ὅδε μονογενὴς οὐρανὸς γεγονώς ἐστί τε καὶ ἔτ' ἔσται. Πλ. Τίμ. 31. Ἐμοῦ οἱ νόμοι οὐ μόνον ἀπεγνωκότες εἰσὶ μὴ ἀδικεῖν, ἀλλὰ καὶ κεκελευκότες ταύτην τὴν δίκην λαμβάνειν. Λυ. 1, 34. (Οὗτος ἂν καὶ οὐδεὶς ἕτερος ἀποκτείνας αὐτὸν εἴη. Ἀντ. 2, γ, 8.)

A. 2. Doch kann auch **von dem bloßen Perfect ein bestehendes Ergebniß die Folge sein.** [Kr. Krit. Anal. 1 S. 158 f.] Ἐπιμελῶς οἱ θεοὶ ὧν οἱ ἄνθρωποι δέονται κατεσκευάκασιν. Ξε. ἀπ. 4, 3, 3. Τῶν ποιητῶν τινες τῶν προγεγενημένων ὑποθήκας ὡς χρὴ ζῆν καταλελοίπασιν. Ἰσ. 2, 3. Πολλαὶ πόλεις ἐνίοτε καθάπερ πλοῖα καταδυόμενα διόλλυνται καὶ διολώλασι καὶ ἔτι διολοῦνται διὰ τὴν τῶν κυβερνητῶν καὶ ναυτῶν μοχθηρίαν τῶν περὶ τὰ μέγιστα μεγίστην ἄγνοιαν εἰληφότων. Πλ. πολιτ. 302.

A. 3. So sind mehrere Perfecte mit ihren (oder entsprechenden) **Präsentien synonym** geworden, drücken aber eine **Abgeschlossenheit** der Handlung aus. Andere bezeichnen bestimmter das Resultat, wie von καλεῖν nennen κεκλῆσθαι (genannt worden sein) **heißen**, von γιγνώσκειν erkennen ἐγνωκέναι **wissen**, novisse; von μιμνήσκειν erinnern μεμνῆσθαι **gedenken**; von κτᾶσθαι erwerben κεκτῆσθαι **besitzen**. Ἡ μὲν ἰατρικὴ ὑγιαίνειν ποιήσει, ἡ δὲ σκυτικὴ ὑποδεδέσθαι, ἡ δὲ ὑφαντικὴ ἠμφιέσθαι. Πλ. Χαρ. 174. Δοκῶ σοι παίζειν ἢ ἐσπουδακέναι; Πλ. Φαίδ. 234. Ὅσοι τυγχάνουσιν ὀρθῶς ἁπτόμενοι φιλοσοφίας, οὐδὲν ἄλλο ἐπιτηδεύουσιν ἢ ἀποθνήσκειν τε καὶ τεθνάναι. Πλ. Φαίδ. 64. Ὃς τὸ ὑμᾶς δεδιέναι δοκεῖν αἰσχρὸν ἡγεῖται, τοῦτον οὐκ ἀπολωλέναι δεκάκις προςήκει; Δη. 21, 201. Ἀεὶ ἄνδρα σκαιὸν ἰσχυρὸν φύσει

ἧσσον δέδοικα τἀσθενοῦς τε καὶ σοφοῦ. Εὐ. Βελλ. 10. Ὅτι τε, ἐπειδὰν ἅπαξ τις ἀποθάνῃ, ἀεὶ ἐκεῖ ἐστι φοβοῦνται καὶ ὅτι ἡ ψυχὴ γυμνὴ τοῦ σώματος παρὰ Πλούτωνα ἀπέρχεται, καὶ τοῦτο πεφόβηνται. Πλ. Κρατ. 403. [z. Th. 1, 144, 1.] Εἴ τις οἴεται μικρὰν ἀφορμὴν σιτηρέσιον τοῖς στρατευομένοις, οὐκ ὀρθῶς ἔγνωκεν. Δη. 4, 29. Ὁ ἐν πολέμῳ εὐτυχίᾳ πλεονάζων οὐκ ἐντεθύμηται θράσει ἀπίστῳ ἐπαιρόμενος. Θ. 1, 120, 4. Ἐπὶ ἐπῶν ποιήσει Ὅμηρον ἔγωγε μάλιστα τεθαύμακα. Ξε. ἀπ. 1, 4, 3. Τὸ μὴ ἐμποδὼν ἀνανταγωνίστῳ εὐνοίᾳ τετίμηται. Θ. 2, 45, 1. — (Κέκτησο ὀρθῶς ἂν (ἃ ἂν) ἔχῃς ἄνευ ψόγου. Εὐ. Ἰνώ 7.) Ἄνθρωπος ὢν μέμνησο τῆς κοινῆς τύχης. Μέ. μο. 8. Πέπεισο μὴ εἶναι σὸν κτῆμα ὅπερ μὴ ἐντὸς διανοίας ἔχεις. Πύθ. Στ. 1, 23. Αἰσχύνεται τἀγάθ' ἀσκήσας ἀνὴρ κακὸς κεκλῆσθαι πᾶς τις. Εὐ. Ἱκ. 912. Vgl. § 40 βαίνω, ἔθω, εἴκω, κράζω, μύω, πείθω.

A. 4. Das Perfect kann auch (verdeutlicht durch εὐθύς, παραχρῆμα, ταχύ) von einer unverzüglich oder unausbleiblich [Xe. An. 1, 8, 12] als abgeschlossen bevorstehenden Handlung gebraucht werden. Οὐ βουλεύεσθαι ὥρα, ἀλλὰ βεβουλεῦσθαι. Πλ. Κρίτ. 46. Εἰ τόξων ἐγκρατής μ' αἰσθήσεται, ὄλωλα. Σο. Φι. 75. Ὁ κρατῶν ἅμα πάντα συνήρπακεν. Ξε. Κυ. 4, 2, 26. — Ἀριθμός, ἐὰν ἀφέλῃς τι ἢ προσθῇς, ἕτερος εὐθὺς γέγονεν. Πλ. Κρατ. 432. Πλουτήσαντες ἀπὸ τῶν κοινῶν παραχρῆμ' ἄδικοι γεγένηνται, ἐπιβουλεύουσί τε τῷ πλήθει καὶ τῷ δήμῳ πολεμοῦσιν. Ἀρ. πλ. 569. Ἀνὴρ ἥκων, κἂν ᾖ πολιός, ταχὺ παῖδα κόρην γεγάμηκεν. Ἀρ. Λυ. 595. (Ueber den ähnlichen Gebrauch von Präsentien zu Th. 1, 121, 3 u. von Aoristen zu 6, 80, 2.)

A. 5. Aehnlich kann auch der Imperativ des Pfs. unmittelbares Eintreten fordern. Πέπαυσο. Δη. 24, 64. Μόνον σὺ ἡμῖν πιστὰ θεῶν πεποίησο καὶ δεξιὰν δός. Ξε. Κυ. 4, 2, 7. [Krit. Anal. 1 S. 158.]

4. Das Plusquamperfect ist das Perfect des Imperfects, d. h. es bezeichnet die Abgeschlossenheit einer Handlung aus dem Standpunkte des Imperfects betrachtet: *εἰρήκειν = εἰρηκὼς ἦν. Τὴν ἀγορὰν ἀνεσκεύασαν καὶ αἱ πύλαι ἐκέκλειντο καὶ ἐπὶ τῶν τειχῶν ὅπλα ἐφαίνετο. Ξε. ἀν.* 5, 10, 8.

A. 1. Bei den zu 3 A. 3 gehörigen Verben entspricht natürlich das Plusquamperfect dem Imperfect. Ἔχει ἐν ταῖς χερσὶν ἃ πάλαι ἐκέκτητο. Θ. 198. Ὧν παρῄνεσε πρότερον ἐμέμνητο οὐδέν. Θε. 2, 21, 3.

A. 2. Auch der 3 A. 4 erwähnten Bedeutung ist das Plqpf. empfänglich. Οὐδεμίαν διατριβὴν ἐποιησάμην, ἀλλ' εὐθὺς παρεκέκληντο οὓς εἶπον, προειρηκὼς δ' ἦν αὐτοῖς ἐφ' ἃ συνεληλυθότες ἦσαν, ἀνέγνωστο δ' ὁ λόγος. Ἰσ. 12, 233.

A. 3. Der Optativ, der Infinitiv und das Particip des Pfs. gehören auch dem Plqpf. an. Vgl. 3 A. 9.

III. Aorist.

5. Der Aorist, welcher die Handlung nur in sofern bestimmt als er sie der Vergangenheit zuweist, bezeichnet eigentlich das Eintreten in die Wirklichkeit. [Kr. krit. Anal. 1 S. 159 u. Studien 2 S. 128.]

A. 1. Am deutlichsten zeigt sich die inchoative Bedeutung bei Verben die im Präsens etwas Zuständliches bezeichnen: ἐβασίλευσα wurde König, ἦρξα erhielt eine Herrschaft, ein Amt, ἡγησάμην nahm die Führung oder den Glauben an, ἴσχυσα wurde mächtig, ἐπλούτησα wurde reich, ἐπολέμησα fing Krieg an, ᾤκησα siedelte mich an, ἠράσθην gewann lieb, ἐθάρσησα bekam Muth. Δαρεῖος μετὰ Καμβύσην Περσῶν ἐβασίλευσεν. Θ. 1, 14, 2. Οὐδεὶς εὑρεθήσεται κάλλιον λαβὼν Εὐαγόρου τὴν βασιλείαν, εἰ ἐξετάζειν τις ἐπιχειρήσειεν ὅπως ἕκαστος ἐτυράννευ-

σεν. Ἰσ. 9, 39. Πεισιστράτου τελευτήσαντος Ἱππίας ἔσχε τὴν ἀρχήν. Θ. 6, 54, 2. Οὐδεὶς ἐπλούτησ' ἐμπύροισιν ἀργὸς ὤν. Εὐ. Ἑλ. 756. Διὰ μικρὸν ἐπολεμήσατε. Θ. 1, 140, 5. Ἐπισθένης ἠράσθη τῆς παιδός. Ξε. ἀν. 4, 6, 3. Λεοντίνων οἱ δυνατοὶ Συρακούσας ἐπὶ πολιτείᾳ ᾤκησαν. Θ. 5, 4, 2. Στησίχορος ποιήσας τὴν καλουμένην παλινῳδίαν παραχρῆμα ἀνέβλεψεν. Πλ. Φαῖδρ. 243. [Zahlreiche Beispiele in den Reg. zu Kr.s Ausgaben und bei Kämpf Uebers. des Th. zu 1, 102.]

A. 2. Dieser Bedeutung empfänglich sind auch die Participien, die subjectiven Modi und die Infinitive. Ἄρξας ἀγαθόν τι ποιεῖν τὴν πατρίδα πειρᾶται. Ξε. ἀπ. 2, 6, 25. Σωκράτης βουλεύσας ποτὲ περὶ πλείονος ἐποιήσατο εὐορκεῖν ἢ χαρίσασθαι τῷ δήμῳ. Ξε. ἀπ. 1, 1, 18. Πολυκράτης ἰσχύσας καὶ τῶν τε ἄλλων νήσων ἄρξας καὶ τὴν Ῥήνειαν ἑλὼν ἀνέθηκε τῷ Ἀπόλλωνι. Θ. 3, 104, 2. Τῶν πολιτευομένων τινὲς δυνηθέντες κατεσκεύασαν αὑτοῖς ἐξεῖναι νομοθετεῖν. Δη. 20, 91. Ὁ μὴ ἐπιεικὴς πλουτήσας εὔκολος οὔποτ' ἂν ἑαυτῷ γένοιτο. Πλ. πολ. 330. Οἱ Λακεδαιμόνιοι τῶν ξυμπολεμησάντων Ἑλλήνων ἡγήσαντο. Θ. 1, 18, 4. Τῶν Τρώων τινὲς ὅμοροι τοῖς Σικανοῖς οἰκήσαντες Ἔλυμοι ἐκλήθησαν, προςξυνῴκησαν δὲ αὐτοῖς καὶ τῶν Φωκέων τινές. Θ. 6, 2, 3. Πῶς ἂν εὖ φρονήσαντες ταῦτα καλῶς ἔχειν ἡγήσαιντο. Πλ. Φαῖδ. 231. Νομίσαντες ἐς ἀνάγκην ἀφῖχθαι ψηφίσασθε τὸν πόλεμον, μὴ φοβηθέντες τὸ αὐτίκα δεινόν, τῆς δ' ἀπ' αὐτοῦ διὰ πλείονος εἰρήνης ἐπιθυμήσαντες, τύραννον ἡγησάμενοι ἐπὶ πᾶσιν ὁμοίως καθεστάναι. Θ. 1, 124, 2. — Κάκιστος γίγνεται ὃς ἂν τυραννικώτατος φύσει ὢν μοναρχήσῃ. Πλ. πολ. 576. Ὧν ἂν ὕστερον ἐρασθῶσιν, ἐκείνους περὶ πλείονος ποιήσονται. Πλ. Φαῖδ. 231. Ἢν ὁ Πλοῦτος νυνὶ βλέψῃ, ὡς τοὺς ἀγαθοὺς βαδιεῖται. Ἀρ. πλ. 494. Οἱ ἰατροὶ ὅταν τινὲς νοσήσωσι, τότε ἰῶνται τούτους. Ξε. Κυ. 1, 6, 16. — Ὑμεῖς εἰ καθελόντες ὑμᾶς ἄρξαιτε, τάχ' ἂν τὴν εὔνοιαν μεταβάλοιτε. Θ. 1, 77, 4. Πενίας ἐλπίδι, ὡς κἂν ἔτι διαφυγὼν αὐτὴν πλουτήσειεν, ἀναβολὴν τοῦ δεινοῦ ἐποιήσατο. Θ. 2, 42, 3. Εἰ πολεμήσαιμεν δι' Ὠρωπόν, οὐδὲν ἂν ἡμᾶς παθεῖν ἡγοῦμαι. Δη. 5, 16. Πολλὰ κατηγορεῖν ἔχω, ἐξ ὧν οὐκ ἔσθ' ὅστις ἂν οὐκ εἰκότως μισήσειεν αὐτόν. Δη. 19, 9.

Χρήματα βούλεται παρά του λαβεῖν ἢ ἀρχὴν ἄρξαι. Πλ. συ. 183. Εἰ ἐθελούσιόν ἐστι τὸ ἐρασθῆναι, οὐ καὶ παύσασθαι ἔστιν, ὅταν τις βούληται; Ξε. Κυ. 5, 1, 11. Εὔηθες περὶ τῆς ἐν Δελφοῖς σκιᾶς νυνὶ πολεμῆσαι. Δη. 5, 25. Τοῖς θεοῖς εἰς ὁμόνοιαν εὔχεσθε καταστῆναι μᾶλλον ἢ τὴν μὲν πόλιν στασιάσαι, τοὺς δὲ λέγοντας ταχέως πλουτῆσαι. Λυ. 18, 18. Δεῖ τοὺς ὑπὲρ Φιλίππου λέγοντας μισῆσαι. Δη. 9, 53. — Διανοήθητε ὑπακούειν πρίν τι βλαβῆναι. Θ. 1, 141, 1.

A. 3. Die Ao. 1 u. 2 sind temporal durchaus gleichbedeutend.

6. Als die Form welche eigentlich das Eintreten in die (vergangene) Wirklichkeit bezeichnet wurde der Aorist das absoluteste Tempus der Vergangenheit, selbst auf dauernde Vorgänge anwendbar; nur daß er sie nicht entfaltet, sondern zusammenfaßt. Als Gegensatz des Imperfects wurde er vorzugsweise erzählendes Tempus, indem er das Geschehene als concentrirte Erscheinung vorstellt. Nicht statthaft ist er bei Beschreibungen. Vgl. § 53, 2. *Οἱ μὲν ἐπαινοῦντες ἀπῆλθον· Κλέανδρος δὲ ἐθύετο ἐπὶ τῇ πορείᾳ καὶ συνῆν Ξενοφῶντι φιλικῶς καὶ ξενίαν συνεβάλοντο. Ξε. ἀν.* 6, 4, 35. *Ἐγὼ ἦλθον, εἶδον, ἐνίκησα. Ἀππ. πολ.* 2, 91. Ueber andre Bedeutungen 10 A. 1—3.

A. 1. Als das absoluteste Präteritum kann der Aorist auch dem Perfect und Plusquamperfect synonym eintreten. Vgl. 2 A. 8. Sogar gewöhnlich erscheint der Ind. des Ao. statt des Pf. nach Zeitpartikeln. Τῶν οἰκετῶν οὐδένα κατέλιπεν, ἀλλ' ἅπαντας πέπρακεν. Αἰ. 1,

99. Δαρεῖος Κῦρον μεταπέμπεται ἀπὸ τῆς ἀρχῆς ἧς αὐτὸν σατράπην ἐποίησεν. Ξε. ἀν. 1, 1, 2. [z. Th. 4, 17, 1.]

A. 2. In Fragen mit τί οὐ — steht der Aorist, indem die Verwunderung daß die Handlung nicht schon eingetreten sei eine dringende Forderung derselben enthält. Doch kann bei τί οὐ — auch das Präsens stehen. [Elmsley zu Eu. Her. 805.] Εἴ τις ὑμῶν εὐπορώτερος ἐμοῦ, τί οὐκ ἀπεκρίνατο; Πλ. Φαίδ. 86. Τί οὐ καὶ Πρόδικον καὶ Ἱππίαν ἐκαλέσαμεν, ἵνα ἐπακούσωσιν ἡμῶν; Πλ. Πρω. 317. — Τί οὐ καλοῦμεν δῆτα τὴν Λυσιστράτην; Ἀρ. Λυ. 1103.

(A. 3. Die eben vorgehende Handlung kann man im Moment ihrer Bezeichnung als schon geschehen vorstellen: τί τοῦτ' ἐγέλασας; und demgemäß z. B. sagen ἐγέλασα ich muß lachen. So steht, besonders häufig im dramatischen Dialog, die erste Person des Singulars. Ἥσθην ἀπειλαῖς, ἐγέλασα φολοκομπίαις. Ἀρ. ἱπ. 696. Ἐπῄνεσ' ἔργον καὶ πρόνοιαν ἣν ἔθου. Σο. Αἴ. 536. Ταυτὶ περιείδεθ' οἱ πρυτάνεις πάσχοντά με; Ἀρ. Ἀχ. 167. Vgl. Dial. Sh. A. 2.)

A. 4. Der Imperativ so wie der Conjunctiv und Optativ des Aorists in selbständigen und finalen Sätzen sind gewöhnlich zeit- und dauerlos, das bloße Eintreten der Handlung bezeichnend, während eben diese Modi des Präsens ein Zuständliches ausdrücken. [Elmsley zu Eu. Med. 310.] Dieselbe Bedeutung haben der Conjunctiv und Optativ des Aorists auch in der imperativartigen Frage, nicht bloß in der directen: τί εἴπω; τί ἂν εἴποιμι; was soll ich sagen, sondern auch in der indirecten: ἐρωτᾷ τί ποιήσῃ er fragt was er thun solle, ἤρετο εἰ παίσειεν er fragte ob er schlagen solle. Vgl. § 54, 7, 1. Nur das Eintreten der Handlung bezeichnet der Ao. in den § 65, 1, 10 erwähnten Sätzen. [z. Th, 2, 12, 1.] Ὑμεῖς βοηθήσατέ μοι καὶ μὴ διδάσκετε τοὺς συκοφάντας μεῖζον ὑμῶν αὐτῶν δύνασθαι. Ἀντ. 5, 80. Μὴ μαινώμεθα μηδ' αἰσχρῶς ἀπολώμεθα. Ξε. ἀν. 7, 1, 29. Εἴπωμεν ἢ σιγῶμεν ἢ τί δράσομεν; Εὐ. Ἴων 758. Εὐτυχοίης καὶ τύχοις ὅσων ἐρᾷς. Εὐ. Μήδ. 688. Οὐκ ἄν ποτε ὁ δίκαιος ἄδικος γένοιτο. Ξε. ἀπ. 1, 2, 19. Παῦσαί νυν ἤδη μηδ' ἐρωτήσῃς πέρα. Εὐ. Ἰφ. Τ. 554. Μὴ ἀποκάμῃς, ἀλλὰ σκόπει. Πλ. πολ. 435. — Δίκαιος ἴσθ', ἵνα καὶ δικαίων δὴ τύχῃς. Μέ. 119. Ἐδόκει οὐ φαύλην πεμπτέον δύναμιν εἶναι, ὅπως τό, τε φρόνημα τῶν νενικηκότων κατασβεσθείη καὶ μὴ μάτην τὰ πεποιημένα γένοιτο (geschehen sei). Ξε. Ἑλ. 5, 3, 8. [vgl. Ar. Frö. 1416.] — Τὸν Φαίακα πέμπουσιν, εἴ πως διασώσειαν τὸν δῆμον. Θ. 5, 4, 4.

A. 5. In rein und gemischt hypothetischen Sätzen (relativen und temporalen) haben der Conjunctiv und Optativ des Aorists regelmäßig die Bedeutung der Vergangenheit, die aber, in sofern der Hauptsatz ein Zukünftiges bezeichnet, als erst bei dessen Verwirklichung eingetretene Vergangenheit vorgestellt wird, so daß diese Modi auch dem Lat. fut. exacto entsprechen. [Krit. Anal. 1 S. 160.] Μέγ' ἐστὶ κέρδος ἢν διδάσκεσθαι μάθῃς. Μέ. μο. 359. Νέος ἂν πονήσῃς, γῆρας ἕξεις εὐθαλές. Μέ. μο. 388. Οὔτε πέφυκεν ἀθάνατος ἡμῶν οὐδείς, οὔτ' εἴ τῳ ξυμβαίη, γένοιτο ἂν εὐδαίμων. Πλ. ἐπιστ. 334. Κῦρος ὑπέσχετο τοῖς φυγάσιν, εἰ καλῶς καταπράξειεν ἐφ' ἃ ἐστρατεύετο, μὴ πρόσθεν παύσασθαι πρὶν αὐτοὺς καταγάγοι οἴκαδε. Ξε. ἀν. 1, 2, 2. — Ἃ ἂν μάθῃ τις, ταῦτα σώζεσθαι φιλεῖ πρὸς γῆρας· οὕτω παῖδας εὖ παιδεύετε. Εὐ. Ἱκ. 916. Τὴν ἀρχὴν τὴν κατὰ θάλασσαν ὁπότεροι ἂν κατάσχωσιν, ὑπηκόους ἔχουσι τὰς πλείστας τῶν πόλεων. Ἰσ. 12, 53. Οὐδεὶς πώποτε ἑκὼν εἶναι τυραννίδος ἀφεῖτο ὅσπερ ἅπαξ κτήσαιτο. Ξε. Ἱέρ. 7, 11. — Οὐ τοῦτο πώποτε ἐπείσθην ὡς ἡ ψυχή, ἕως μὲν ἐν τῷ θνητῷ σώματι ᾖ, ζῇ, ὅταν δὲ τούτου ἀπαλλαγῇ, τέθνηκεν. Ξε. Κυ. 8, 7, 19. Οἱ στρατιῶται ὅτε ἔξω τοῦ δεινοῦ γένοιντο καὶ ἐξείη πρὸς ἄλλους ἀπιέναι, πολλοὶ Κλέαρχον ἀπέλειπον. Ξε. ἀν. 2, 6, 12. Ἐγὼ γυναικὶ ἕν τι πιστεύω μόνον, ἐπὰν ἀποθάνῃ, οὐ βιώσεσθαι πάλιν· τὰ δ' ἄλλ' ἀπιστῶ πάνθ', ἕ-

ὡς ἂν ἀποθάνῃ. Ἀντιφά. 281. Αὐτοὶ ἔφασαν συνεκπλευσεῖσθαι, ἕως τὰ πράγματα κατασταίη. Λυ. 13, 25. Vgl. § 65, 7, 6.

A. 6. Eben so hat der Optativ des Aorists ohne ἄν die Bedeutung der Vergangenheit in ideell abhängigen Sätzen, namentlich in Verbindung mit (nicht hypothetischen) Relativen, mit ὅτι und ὡς so wie in abhängigen Fragen. [Krit. Anal. 1 S. 147 f.] Bei hinzugefügtem ἄν tritt die Bedeutung A. 4 ein. Ἠρ ὁ Ἀρμένιος ἀναβιοὺς ἔλεγεν ἃ ἐκεῖ ἴδοι. Πλ. πολ. 614. Διεθρόησαν ὡς χρήματα πολλὰ ἴδοιεν. Θ. 6, 46, 4. Ὁ κῆρυξ ἐκήρυττε τίς τὴν ἱκετηρίαν καταθείη. Ἀνδ. 1, 112. — Ἡγοῦμαι τοιαύτην τέχνην, ἥτις τοῖς κακῶς πεφυκόσι πρὸς ἀρετὴν ἐνεργάσαιτ' ἂν καὶ δικαιοσύνην, οὔτε πρότερον οὔτε νῦν οὐδεμίαν εἶναι. Ἰσ. 15, 274. Κύρῳ ἴσμεν ἐθελήσαντας πείθεσθαι τοὺς μὲν ἀπέχοντας παμπόλλων ἡμερῶν ὁδόν, τοὺς δὲ οὐδ' ἑωρακότας πώποτε αὐτόν, τοὺς δὲ καὶ εὖ εἰδότας ὅτι οὐδ' ἂν ἴδοιεν. Ξε. Κυ. 1, 1, 3. Ἡράκλειτος λέγει ὡς δὶς ἐς τὸν αὐτὸν ποταμὸν οὐκ ἂν ἐμβαίης. Πλ. Κρατ. 402. Οὐκ οἶδ' ὅπως ἂν σαφέστερον ἐπιδεῖξαι δυνηθείην. Ἰσ. 15, 101. Λέγεται ὁ Κῦρος ἐρέσθαι τὸν νεανίσκον εἰ δέξαιτ' ἂν βασιλείαν ἀντὶ τοῦ ἵππου. Ξε. Κυ. 8, 3, 26.

(A. 3. Mit dem Inf. (des Ao.) steht περιορᾶν [selten ἀνέχομαι vgl. Herm. Eur. Phoin. 549], wenn nur die Möglichkeit des Eintretens der Handlung zu denken ist. Τούςδε δύναμιν προςλαβεῖν περιόψεσθε ἣν οὐ δίκαιον. Θ. (z. Th.) 1, 35, 3 u. z. Her. 1, 24, 2.)

A. 4. Von Verben der Empfindung gehören besonders hieher die welche Freude und Aerger bezeichnen. Ὁ θεός, ὡς ἔοικε, πολλάκις χαίρει τοὺς μὲν μικροὺς μεγάλους ποιῶν, τοὺς δὲ μεγάλους μικρούς. Ξε. Ἑλ. 6, 4, 23. Ὅταν ἁμαρτάνῃς τι, χαῖρ' ἡττώμενος. Φιλιππίδης 7. Πᾶς ἀνήρ, κἂν δοῦλος ᾖ τις, ἥδεται τὸ φῶς ὁρῶν. Εὐ. Ὀρ. 1523. Ὅς γε πίνων μὴ γέγηθε μαίνεται. Εὐ. Κυ. 168. (Ἆρ' οὐκ ἀγαπήσεις τούτων τυγχάνων; Πλ. πολ. 473. — Οὐκ ἂν ἀχθοίμην μανθάνων. Πλ. Λαχ. 189. Ἀγανακτήσει ἀποθνήσκων. Πλ. Φαίδ. 68. Ὅστις ἰσχυρῶς χρήμασιν ἥδεται, εὖ ἴσθι τοῦτον καὶ δαπανῶντα ἰσχυρῶς ἀνιᾶσθαι. Ξε. Κυ. 8, 3, 44. Ἀδικούμενοι, ὡς ἔοικεν, οἱ ἄνθρωποι μᾶλλον ὀργίζονται ἢ βιαζόμενοι. Θ. 1, 77, 3. Οὐκ αἰσχύνομαι μανθάνων. [Πλ. Ἱπ. 372.] Μεταμέλει μοι οὕτως ἀπολογησαμένῳ. Πλ. ἀπ. 38. vgl. z. Her. 7, 54. [Μετεμέλοντο πρότερον οὐκ ἀναστάντες. Θ. 7, 50, 3. Ueber ἀγάλλεσθαι z. Th. 4, 95, 2.]

A. 5. Mit dem Infinitiv steht αἰσχύνεσθαι, wenn es Scheu vor der zu begehenden Handlung bezeichnet. Vgl. § 55, 3, 18. Τοῦτο μὲν οὐκ αἰσχύνομαι λέγων· τὸ δὲ ἐὰν μένητε παρ' ἐμοί, ἀποδώσω, εὖ ἴστε ὅτι αἰσχυνοίμην ἂν εἰπεῖν. Ξε. Κυ. 5, 1, 20.

7. Auch bei mehreren Verben die sich auf sinnliche oder geistige Wahrnehmung beziehen, steht das Particip als Prädicat: im Accusativ, wenn sie active, im Nominativ, wenn sie passive Bedeutung haben; in beiden Fällen gewöhlich durch daß zu übersetzen.

A. 1. Die üblichsten der hieher gehörigen Verba zeigen folgende Beispiele. Ἄνθρωποι ἐπ' οὐδένας μᾶλλον συνίστανται ἢ ἐπὶ τούτους

οὓς ἂν αἴσθωνται ἄρχειν αὐτῶν ἐπιχειροῦντας. Ξε. Κυ. 1, 1, 2. Ὁρῶ λύπας ἔχοντας μείζονας τοὺς μείζονας. Φιλή. 91. Ὁ θεὸς τὰ μέγιστα μὲν πράττων ὁρᾶται, τάδε δὲ οἰκονομῶν ἀόρατος ἡμῖν ἐστιν. Ξε. ἀπ. 4, 3, 13. [Οὐ φρονοῦντά σ' εὖ βλέπω. Σο. ΟΤ. 626.] Θεμιστοκλέα οὐκ ἀκούεις ἄνδρα ἀγαθὸν γεγονότα; Πλ. Γο. 503. Ἐπύθετο κατὰ πλοῦν ἤδη ὢν τὸ Πλημμύριον ὑπὸ τῶν Συρακοσίων ἑαλωκός. Θ. 7, 31, 2. Χεῤῥόνησον κατέμαθε πόλεις ἕνδεκα ἢ δώδεκα ἔχουσαν. Ξε. Ἑλ. 3, 2, 10. Τὰ τοῦ πολέμου τοιαῦτα ἐγίγνωσκον ὄντα ὡς μὴ ὑστερίζειν δέον τὸν ἄρχοντα. Ξε. Κυ. 7, 5, 46. Γνωσθησόμεθα ξυνελθόντες μὲν ἀμύνεσθαι δὲ οὐ τολμῶντες. Θ. 1, 124, 2. (Κατενόησαν οὐ πολλοὺς τοὺς Θηβαίους ὄντας. Θ. 2, 3, 2.) Οὐδένα οἶδα μισοῦντα τοὺς ἐπαινοῦντας. Ξε. ἀπ. 2, 6, 33. (Εὐήθης ἐστὶν ὅστις ἀγνοεῖ τὸν ἐκεῖθεν πόλεμον δεῦρο ἥξοντα. Δη. 1, 15.) Ἠπίστατο τοὺς Ἕλληνας οὐκ εἰθισμένους ὑπομένειν τὰς μοναρχίας. Ἰσ. 5, 107. Ἄνθρωπον ὄντα σαυτὸν ἀναμίμνησκ' ἀεί. Μέ. 16. Μεμνήμεθ' ἐς κίνδυνον ἐλθόντες μέγαν. Εὐ. Ἑκ. 244. [Ueber ἐνθυμεῖσθαι z. Th. 1, 120, 4, über διανοεῖσθαι ꝛc. zu 1, 141, 1.]

A. 2. Eben so gebrauchte man die Verba des Zeigens, Findens oder Betreffens. Οἶδα Σωκράτην δεικνύντα τοῖς ξυνοῦσιν ἑαυτὸν καλὸν κἀγαθὸν ὄντα. Ξε. ἀπ. 1, 2, 18. [Ueber ἀποδεικνύναι z. Th. 2, 62, 1.] Ἀνανδρίας ἕνεκα δειχθήσεται τοῦτο πεποιηκώς. Δη. 21, 160. Ἀποφαίνουσι τοὺς φεύγοντας πάλαι πονηροὺς ὄντας. Λυ. 30, 1. Τοῦτο τὸ γράμμα δηλοῖ ψευδῆ τὴν διαθήκην οὖσαν. Δη. 45, 34. Δηλοῦται παρὰ τὴν αὑτοῦ ἁμαρτίαν ἀτυχήμασι περιπεσών. Ἀντ. 3, δ, 5. Ἀδικοῦντα Φίλιππον ἐξήλεγξα. Δη. 18, 136. Πάνθ' ἕνεκα ἑαυτοῦ ποιῶν ἐξελήλεγκται. Δη. 2, 81. — Εὑρήσομεν καὶ τῶν ἔργων καὶ τῶν διανοημάτων ἁπάντων ἡγεμόνα λόγον ὄντα καὶ μάλιστα χρωμένους αὐτῷ τοὺς πλεῖστον νοῦν ἔχοντας. Ἰσ. 15, 257. Ἀφ' ὧν μὲν εἶ φανεῖ δίκαιος, δρῶν δ' ἐφευρίσκει κακά. Σο. ἀποσ. 669. Κλέπτων ὅταν τις ἐμφανῶς ἐφευρεθῇ, σιγᾶν ἀνάγκη. Σο. ΟΚ. 937. Ἅπανθ' ὅσ' ὀργιζόμενος ἄνθρωπος ποιεῖ, ταῦθ' ὕστερον λάβοις ἂν ἡμαρτημένα. Μέ. 697. [Ueber τηρεῖν z. Th. 6, 100, 1.] Τοὺς νόμους κακουργῶν εἴληπται. Δη. 24, 65. Παρὰ τοὺς νόμους πράττων τις φωρᾶται. Δη. 21, 41. Οὔ ποτε τούτους προδιδοὺς ἁλώσομαι. Ξε. Κυ. 5, 1, 21. [Aehnlich bei synonymen Redensarten z. Th. 3, 64, 1.]

(A. 3. Selten finden sich so die Verba die eine Vorstellung oder eine Aeußerung bezeichnen, öfter jedoch ἀγγέλλειν; über νομίζειν Kr. zu Xe. An. 6, 4, 24. Πᾶσι ταῦτα δεδογμένα ἡμῖν νόμιζε. Πλ. πολ. 450. Πότερόν σε φῶμεν νῦν σπουδάζοντα ἢ παίζοντα; Πλ. Γο. 481. Τίθημί σε ὁμολογοῦντα. Πλ. ἀπ. 27. Τισσαφέρνης Κῦρον ἐπιστρατεύοντα πρῶτος ἤγγειλεν. Ξε. ἀν. 2, 3, 19. — Ὁμολογούμεθα μετ' οἴνου ἐλθόντες. Λυ. 4, 7. Κῦρος φύσιν τῆς μορφῆς καὶ τῆς ψυχῆς τοιαύτην ἔχων διαμνημονεύεται. Ξε. Κυ. 1, 2, 2. Ὧν ζῶντες ἠγγελμένοι ἦσαν, ὀλίγους ἂν εἶδες περιιόντας. Ξε. Ἑλ. 6, 4, 16. z. Th. 1, 131, 1. Ueber νομίζειν zu 7, 68, 1.)

(A. 4. Auch bei diesen Verben (A. 1—3) fehlt zuweilen ὤν. Μένων ὅσους [ἂν] αἰσθάνοιτο ἀδίκους ὡς εὖ ὡπλισμένους ἐφοβεῖτο. Ξε. ἀν. 2, 6, 25. Ἐν εὐδίᾳ ὁρῶ ὑμᾶς. Ξε. ἀν. 5, 8, 19. Ἡδύ γε δικαίους ἄνδρας εὐτυχεῖς ὁρᾶν. Μέ. 218. [z. Th. 4, 24, 2. 8, 16, 2.) Ὀφθήσει κακός. Σο. Τρ. 452. Θαρσοῦσι μάλιστα οἱ πολέμιοι, ὅταν τοῖς ἐναντίοις ἀσχολίας πυνθάνωνται. Ξε. ἱππ. 5, 8. Ἐν Χερσονήσῳ ἐπύθεσθε Φίλιππον. Δη. 4, 41. Πονηροῦ δεσπότου οἰκέτας οὐ δοκῶ χρηστοὺς καταμεμαθηκέναι. Ξε. οἰκ. 12, 19. — Ὁ νομοθέτης ζημιοῖ τὸν λέγοντα, ἐὰν μὴ ἀποδεικνύῃ ἀληθῆ. Λυ. 11, 11. Διαθήκας ἤδη πολλοὶ ψευδεῖς ἀπέφηναν. Ἰσαῖ. 1, 41. Δέδεικται ψυχὴ τῶν πάντων πρεσβυτάτη, γενομένη τε ἀρχὴ τῆς κινήσεως. Πλ. νό. 896. Φράσω, ὥς σε δηλώσω κακόν. Σο. ΟΚ. 783. — Πολλοὺς τοὺς ἀσελγεῖς εὑρήσετε καὶ τοὺς ὑβρίζοντας ἐπὶ τῇ τοῦ φιλοτιμεῖσθαι προφάσει. Δη. 24, 143. Εἴ που ἥττους τῶν πολεμίων ληφθησόμεθα,

ἐν ἀνδραπόδων χώρᾳ ἐσόμεθα. Ξε. ἀν. 5, 6, 13. Οὐ φονεὺς ἁλώσομαι. Σο. ΟΤ. 576. Τοῖς σοῖς φίλοισιν εὑρίσκου φίλος. Εὐ. Ἴων 1407. Ἅπαντα καθ' ἡμῶν εὕρηται. Δη. 4, 50. Πάντ' ἐφεύρημαι κακός. Σο. ΟΤ. 1421. — Οἱ πρέσβεις τὰ ἐν τῇ Σικελίᾳ βελτίω ἤγγελλον. Θ. 7, 17, 2. Ἠγγέλθης μοι γενναῖος. Εὐ. Ἑκ. 591. vgl. z. Th. 6, 34, 7.)

A. 5. Mit dem Nominativ des Particips stehen auch manche Active wie Media und Deponentia dieser Verba, besonders der zu A. 1 gehörigen, in sofern vom Subject ein Prädicat ausgesagt wird. (No. neben dem Ac. Th. 7, 47, 1.) Der in diesem Falle auch zuweilen vorkommende Ac. ist nach § 55, 2, 3 zu erklären. vgl. Xe. An. 5, 6, 20. Αἰσθάνομαι τὸ μὲν ὕδωρ ἡμᾶς ἐπιλεῖπον, αὐτὸς δ' ἐμπεπτωκὼς εἰς κατηγορίας. Ἰσ. 15, 320. Ὁρᾶθ', ὅσοι νομίζετ' οὐκ εἶναι θεόν, δὶς ἐξαμαρτάνοντες οὐκ εὐγνωμόνως. Εὐ. Φρίξ. 5, 7. Beck. (Ὁρῶμεν ἡμᾶς ἀπόρους ὄντας. Ξε. ἀν. 5, 6, 20.) Μὴ ὅτι θεός, ἀλλὰ καὶ ἄνθρωποι καλοὶ κἀγαθοί, ἐπειδὰν γνῶσιν ἀπιστούμενοι, οὐ φιλοῦσι τοὺς ἀπιστοῦντας. Ξε. Κυ. 7, 2, 17. Μανθάνετε κακὰ σπεύδοντες. Θ. 6, 39, 2. Ἐνενόησα καταγέλαστος ὤν. Πλ. συ. 198. (Ὁ ἐν πολέμῳ εὐτυχίᾳ πλεονάζων οὐκ ἐντεθύμηται θράσει ἀπίστῳ ἐπαιρόμενος. Θ. 1, 120, 4) Ἐν πολυτρόποις ξυμφοραῖς ἐπίστανται τραφέντες. Θ. 2, 44, 1. Τἄλλ' ὄντες ἴστε μηδενὸς βελτίονες. Εὐ. Ἀνδρ. 726. Οὐχ ᾧ κρείττων ᾔδει ὤν, προὐκαλεῖτο ταῦτα τοὺς συνόντας, ἀλλ' ἅπερ εὖ ᾔδει ἑαυτὸν ἥττονα ὄντα, ταῦτα ἐξῆρχεν. Ξε. Κυ. 1, 4, 4. Ἐγὼ δείξω οὐ παραινέσαι οἷός τε ὢν μᾶλλον τοῖς πέλας ἢ αὐτὸς ἔργῳ ἐπεξελθεῖν. Θ. 5, 9, 7. (Δεῖξον σὺ οὐ πεποιηκότα ταῦτα σαυτόν. Δη. 22, 29. Ἐνδείκνυσο περὶ τὰ μέγιστα σπουδάζων. Ἰσ. 2, 30. Ἀλκιβιάδης ἐδήλωσε τῶν νόμων καταφρονῶν. Ἀνδ. 4, 14. Οἱ Ἀθηναῖοι φανερὸν ἐποίησαν οὐκ ἰδίᾳ πολεμοῦντες, ἀλλ' ὑπὲρ κοινῆς ἐλευθερίας προκινδυνεύοντες. Λυκ. 50. [Ἑαυτὸν οὐδεὶς ὁμολογεῖ κακοῦργος ὤν. Μέ. 158. — Νικώμενος λόγοισιν οὐκ ἀναίνομαι. Αἰσχ. Ἀγ. 583. Οὐκ εὐτυχῶν ἀρνήσομαι. Εὐ. Ἄλκ. 1158.]

A. 6. Dreifache Construction hat σύνοιδα, die von A. 1, die von A. 5, oder, wenn es einen Da. bei sich hat, das Particip diesem angefügt. Σύνιστε πολλοὺς καὶ μεγάλους οἴκους ὑπὸ τῶν κολακευόντων ἀναστάτους γεγενημένους. Ἰσ. 8, 4. Πρὸς τοὺς πολεμίους μεγαλοφρονέστεροι γίγνονται οἳ ἂν ξυνειδῶσιν ἑαυτοῖς εὖ ἠσκηκότες. Ξε. Κυ. 2, 1, 29. Ἥδιστον αὐτὸν ἑαυτῷ συνειδέναι μηδὲν ἐξημαρτηκότι. Ἀντ. 6, 1.

A. 7. Bei den (zu A. 1 gehörigen) Verben die einen Genitiv regieren steht das Particip, wenn es Prädicat des (gesetzten oder zu ergänzenden) Objects ist, im Genitiv. Vgl. § 47, 10, 13. Οὐκ ᾐσθάνοντο προσιόντων τῶν πολεμίων. Ξε. Ἑλ. 4, 2, 19. Ἐγὼ ἡδέως ἀκούω Σωκράτους διαλεγομένου. Πλ. συ. 194. Μέμνημαι τοῦτο σοῦ λέγοντος. Ξε. Κυ. 1, 6, 8. Εἰ γιγνώσκεις ἐμοῦ φθεγγομένου, δήλωμά σοι γίγνεται παρ' ἐμοῦ. Πλ. Κρατ. 435.

A. 8. Fast bei allen hieher (zu N. 7) gehörigen Verben findet sich auch der Infinitiv, der aber als Ausdruck einer bloßen Idee erscheint, während das Particip eine Realität prädicativ vorstellt. Vgl. § 65, 1, 4.

A. 9. Εἰδέναι, ἐπίστασθαι, γιγνώσκειν, μανθάνειν, selten αἰσθάνεσθαι [zu Th. 5, 4, 2.], mit dem Infinitiv beziehen sich auf die Fähigkeit des Hervorbringens oder die Möglichkeit des Eintretens der Handlung. Nur den Infinitiv gestattet γιγνώσκειν in der Bedeutung urtheilen, verstehen, beschließen. Λύπην εὔνους οἶδεν ἰᾶσθαι φίλος. Μέ. 319. Δίκαιος ἀδικεῖν οὐκ ἐπίσταται τρόπος. Μέ. μο. 136. Ὦ μακάρι' ἀτυχεῖν θνητὸς ὢν ἐπίστασο. Διφ. 4. — Ἄνθρωπος ὢν γίγνωσκε τῆς ὀργῆς κρατεῖν. Μέ. μο. 20. Γίγνωσκε τἀνθρώπεια μὴ σέβειν ἄγαν. Αἰσ. ἀποσ. 146. Τὰ ἄλλα πάντα ζῷα καὶ ἀγνωμονέστερα καὶ ἀχαριστότερα ἀνθρώπων ἐγίγνωσκεν εἶναι. Ξε. Κυ. 8, 3, 39. Ὑμῖν ἐγνωκέναι τὰ δίκαια ποιεῖν ὑπάρχει. Δη. 25, 30. — Ἄρχεσθαι μαθὼν ἄρχειν ἐπιστήσῃ. Σόλων Στ. 1, 77. (Ἐν τῷ φρο-

νεῖν μηδὲν ἥδιστος βίος, ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς. Σο. Αἴ. 554.) Zw. ὁρᾶν z. Th. 8, 60, 3.

A. 10. Μεμνῆσθαι mit dem Infinitiv heißt auf etwas bedacht sein, sich angelegen sein lassen. Χαλεπὸν εὑρεῖν τὸν μεμνησόμενον καταχωρίζειν ἕκαστα. Ξε. οἰκ. 2, 22. Μέμνησο πλουτῶν τοὺς πένητας ὠφελεῖν. Μέ. μο. 348. Νῆφε καὶ μέμνησ' ἀπιστεῖν. Ἐπίχ. κω. ἀν. 496.

A. 11. Der Infinitiv steht auch bei ἀγγέλλειν, αἰσθάνεσθαι, πυνθάνεσθαι und besonders häufig bei ἀκούειν, wenn die gemeldete oder percipirte Sache nicht als real vorgestelltes Prädicat, sondern als bloße Vorstellung des Subjects zu denken ist (mehr Ungewißheit). Ἠγγέλλετο βασιλεὺς διανοεῖσθαι ὡς ἐπιχειρήσων ἐπὶ τοὺς Ἕλληνας. Πλ. Μενέξ. 241. Ἤισθετο αὐτοὺς μέγα παρὰ βασιλεῖ Δαρείῳ δύνασθαι. Θ. 6, 59, 3. Οἱ Λακεδαιμόνιοι ἐπυνθάνοντο ἐς τοὺς Εἵλωτάς τι πράσσειν Παυσανίαν. Θ. 1, 132, 4. Ἀκούων τινὰς εἶναι λέγειν τε καὶ πράττειν ἱκανοὺς ἐζήτησα τούτοις ἐντυχεῖν. Ξε. ἀπ. 4, 2, 4.

A. 12. Ὅτι daß oder seltener ὡς wie, daß folgt auf die hieher gehörigen Verba (auch mit der Anticipation § 61, 6), wenn der Gedanke als Thatsache vorgelegt wird, am gewöhnlichsten bei den Verben der Aeußerung, fast regelmäßig auch ὅτι bei ἐνθυμεῖσθαι. Vgl. § 55, 4. 56, 7, 1 E. u. 65, 1, 4. Ὁρῶμεν ὅτι οἱ σώφρονες οὐδὲν δήπου ἄδικον οὐδὲ ἀνόσιον ποιοῦσιν. Ξε. Ἑλ. 7, 3, 6. Ἐπύθοντο ὅτι Μίνδαρος ἐν Κυζίκῳ εἴη. Ξε. Ἑλ. 1, 1, 14. Ὅτι δεῖ γράμματα ἐπίστασθαι ἠκηκόειν. Ξε. οἰκ. 15, 7. Μανθάνω ὅτι τὸ ὑπὸ ταῖς γεωμετρίαις λέγεις. Πλ. πολ. 511. Ἱκανῶς ἔγνωκεν ὅτι ἄριστον δικαιοσύνη. Πλ. πολ. 366. Τίς οὐκ οἶδεν ὅτι οἱ νικῶντες τά τε ἑαυτῶν σώζουσι καὶ τὰ τῶν ἡττόνων προσλαμβάνουσιν; Ξε. Κυ. 3, 3, 45. Τιμόθεος ἠπίστατο τοὺς δεδιότας ὅτι μισοῦσι δι' οὓς ἂν τοῦτο πεπονθότες τυγχάνωσι, τήν τε πόλιν διὰ τὴν φιλίαν τὴν τῶν ἄλλων εὐδαιμονεστάτην καὶ μεγίστην γενομένην. Ἰσ. 15, 122. Ἐνθυμοῦ ὅτι τοῖς σπουδαίοις οὐχ οἷόν τε τῆς ἀρετῆς ἀμελεῖν διὰ τὸ πολλοὺς ἔχειν τοὺς ἐπιπλήττοντας. Ἰσ. 1, 48. Μέμνησ' ὅτι ἀνὴρ γεγένησαι δι' ἐμέ. Ἀρ. ἱπ. 1254. — Σωκράτης ἐπεδείκνυεν ὅτι τὸ ἄφρον ἄτιμόν ἐστιν. Ξε. ἀπ. 1, 2, 55. Δηλοῖ ὅτι ἕτερον λέγει τῶν ἄλλων τὸ μὴ ὄν. Πλ. Παρ. 160. — Ὁρῶ ὡς χαλεπὸν τὰ βέλτιστα λέγειν ἐστίν. Δη. 16, 2. Περὶ ἡδονῆς ἀκηκόαμεν ὡς ἀεὶ γένεσίς ἐστιν. Πλ. Φιλ. 53. Μαθέτωσαν ὡς πᾶσα ἀποικία εὖ πάσχουσα τιμᾷ τὴν μητρόπολιν. Θ. 1, 34, 1. Ἴσθι ὡς ταῦτα μαθὼν κλέος ἕξεις. Ἀρ. νε. 458. Γίγνωσκε ὡς πᾶσιν ἡμῖν ἀποθανεῖν ὀφείλεται. Εὐ. Ἀλκ. 418. Μέμνησο νέος ὢν ὡς γέρων ἔσει ποτέ. Μέ. μο. 354.

A. 13. Nach den Verben der Erinnerung folgt ὅτε wenn es die Thatsache an eine gewisse Zeit anknüpft: ich erinnere mich der Zeit da. Μέμνησαι ὅτε οὐδ' ἀναγρύζειν μοι ἐξουσίαν ἐποίησας. Ξε. οἰκ. 2, 11. (Οἶδ' ἡνίκ' Αἴας εἷλκε Κασάνδραν βίᾳ. Εὐ. Τρῳ. 70.) Vgl. § 54, 16, 2 und Herm. zu Eu. Hek. 108.

8. Bei Verben die ein Urtheil über ein Verfahren oder einen Zustand aussprechen bezeichnet das Particip die Handlung auf welche dieses Urtheil sich bezieht: darin daß, damit daß, dadurch daß. Dem Aorist gesellt sich dabei auch das Particip im Aorist ohne den Begriff des Vorzeitigen. Vgl. § 53, 6, 8.

A. 1. So bei εὖ, καλῶς ποιεῖν, ἀδικεῖν, χαρίζεσθαι, εὐτυχεῖν, νικᾶν, ἡττᾶσθαι u. ä. Θρασύβουλος καλῶς ἐποίησεν οὕτω τελευτήσας τὸν βίον. Λυ. 28, 8. Οὐκ ἔστιν ὅ, τι ἄν τις μεῖζον τούτου κακὸν πάθοι ἢ λόγους μισήσας. Πλ. Φαιδ. 89. Ἀδικεῖτε πολέμου ἄρχοντες καὶ σπονδὰς λύοντες. Θ. 1, 53, 1. Κεχάρισαί γέ μοι ὦ γλυκύτατον τὴν γραῦν ἀπαλλάξασά μου. Ἀρ. ἐκ. 1045. Ξενοφῶντα ὠνήσατε οὐχὶ ἑλόμενοι. Ξε. ἀν. 5, 9, 32. Μακάριος ὅστις εὐτυχεῖ γάμον λαβὼν ἐσθλῆς γυναικός, εὐτυχεῖ δ' ὁ

μὴ λαβών. Εὐ. ἀποσ. ἀϑ. 29. Πάντας πειρῶ νικᾶν εὖ ποιῶν· ἐὰν γὰρ τοὺς φίλους κρατῇς εὖ ποιῶν, οὐ μή σοι δύνωνται ἀντέχειν οἱ πολέμιοι. Ξε. Ἱέρ. 11, 15. Ἐάν τις ἡμᾶς εὖ ποιῶν ὑπάρχῃ, τούτου εἵς γε δύναμιν οὐχ ἡττησόμεϑα εὖ ποιοῦντες. Ξε. ἀν. 2, 3, 23. [zu Xe. An. 1, 9, 11.] Πολεμοῦντες οὐ κερδαίνομεν. Ἀρ. ὄρ. 1591. Τὰ ἄλλα μ' ἤρεσας λέγων. Ἀρ. ἱπ. 359. Ἀρκέσω ἐγὼ λέγων. Εὐ. Ὀρ. 1592. Οὔτοι καταπροίξει μὰ τὸν Ἀπόλλω τοῦτο δρῶν. Ἀρ. σφ. 1366.

A. 2. Das Particip εὖ, καλῶς ποιῶν entspricht meist unserm und daran hat er wohl gethan, und das ist recht schön von ihm, oft mit sarkastischer Färbung. Aehnlich steht (vorangestellt) οὐ (οὔτι) χαίρων nicht ungestraft, übel zugerichtet. Εὖ ποιῶν ἀπόλωλ' ἐκεῖνος κἂν δέοντι τῇ πόλει. Ἀρ. εἰρ. 271. Καλῶς καὶ τὰ δίκαια ποιῶν ὁ δῆμος ὠργίσϑη. Δη. 21, 2. Τοῦτο ἐπ' ἐκείνου, εὖ ποιοῦν, οὐ συνέβη. Δη. 23, 143. — Οὐ χαίροντες ἀπαλλάξετε. Ξε. ἀν. 5, 6, 32.

(A. 3. Aehnlich ist τί παϑών was ficht dich an daß —. Von Mehreren verworfen wird das synonyme τί μαϑών was fällt dir ein daß —. [Herm. z. Vig. 194.] Ἤρετο τί δὴ παϑὼν οὕτω ϑαυμάζοι τὴν τέχνην. Αἰλ. ποικ. ἱ. 14, 47. — Σὺ δὲ δὴ τί μαϑὼν οὐκ ἀποϑνήσκεις; Ἀρ. Λυ. 599. Τί μαϑόντες ἐμαρτυρεῖτε ὑμεῖς; Δη. 45, 38. Vgl. Rehdantz z. Dem. 4, 39.)

A. 4. In ληρεῖς ἔχων, wie in synonymen Formeln, wird das Gehaben, das Charakteristische eines Schwätzers bezeichnet. Οὐ μὴ φλυαρήσεις ἔχων. Ἀρ. βά. 203. Τί διατρίβεις ἔχων; Ἀρ. ἐκ. 1151. [Hermann z. Vig. 228.]

A. 5. Ἀρχόμενος ist oft unser im Anfange, τελευτῶν zuletzt, διαλιπών nach einer Zwischenzeit [φέρων hastig, ἀνύσας flugs]. Ἐγώ, ἅπερ καὶ ἀρχόμενος εἶπον, ἀξιῶ ξυγχωρεῖν. Θ. 4, 64, 1. Ἣν πολλάκις προςδοκίας ἀγαϑῶν ἐμβαλὼν ψεύδηταί τις, τελευτῶν οὐδ' ὁπόταν ἀληϑεῖς ἐλπίδας λέγῃ ὁ τοιοῦτος πείϑειν δύναται. Ξε. Κυ. 1, 6, 19. [vgl. z. Th. 4, 72, 4.] Ὁ ἐν καιρῷ μόχϑος πολλὴν εὐδαιμονίαν τίκτει βροτοῖσι τελευτῶν. Εὐ. Τήμ. 8. Οὐ πολὺ διαλιπὼν ἐτελεύτησεν. Θ. 5, 10, 11. Ἀντὶ φιλοτίμων ἀνδρῶν φιλοχρηματισταὶ καὶ φιλοχρήματοι τελευτῶντες ἐγένοντο. Πλ. πολ. 551. [Ὑπέβαλεν ἑαυτὸν φέρων τοῖς Θηβαίοις. Αἰ. 3, 90. Vgl. Hemsterh. zu Luc. Todteng. 6, 3. Ἄνοιγ', ἄνοιγ' ἀνύσας τὸ φροντιστήριον. Ἀρ. νε. 181.]

A. 6. Ἀρξάμενος ἀπό (ἔκ) τινος ist oft zu übersetzen: von Jemand, etwas an (ihn, dies mit) gerechnet, in der Regel dem zu bestimmenden Begriffe angefügt. [Buttmann zu Plat. Men. p. 212 s.] Τοὺς ἐν πλείσταις ἐξουσίαις γεγενημένους ἴδοι τις ἂν ταῖς μεγίσταις συμφοραῖς περιπεπτωκότας ἀρξαμένους ἀφ' ἡμῶν καὶ Λακεδαιμονίων. Ἰσ. 8, 104. Ἀδίκοις κάκιστα ξύμπαντα, ἀρξάμενα ἀπὸ τῆς ὑγιείας. Πλ. νό. 661. Κακὰ πολὺ πλείω ποιοῦσιν ἢ ἀγαϑὰ πάντες ἄνϑρωποι ἀρξάμενοι ἐκ παίδων. Πλ. Ἱπ. 296. Vgl. Buttm. zu Pl. Men. Ind.

A. 7. Im Dialog fügt man seine Worte oft syntaktisch an die Rede dessen der eben gesprochen hat; eben so an die unterbrochene eigne. So auch das Particip. Ξυγχωρῶ καὶ παραδέχομαι. Καλῶς γε σὺ τοίνυν, ἦν δ' ἐγώ, ποιῶν. Πλ. Χαρ. 162. Ἀναμιμνήσκονται ἅ ποτε ἔμαϑον. Ἀνάγκη. Πότε λαβοῦσαι αἱ ψυχαὶ ἡμῶν τὴν ἐπιστήμην αὐτῶν; Πλ. Φαίδ. 76.

III. Das Particip appositiv und absolut.

9. Die appositive Participialconstruction und ihr zur Seite gehend die absolute sind eine unklarere Ausdrucksweise für Sätze die mit dem Hauptsatze in einem temporalen oder realen Verhältnisse stehen.

A. 1. Einem Begriffe des Hauptsatzes kann ein Particip mit eigenem Subject angefügt werden, wenn dieses theilweise (oder auch ganz) mit jenem

Begriffe zusammenfällt. Ὁ πεζὸς ἀμφοτέρων πολὺν τὸν ἀγῶνα εἶχε, φιλονεικῶν μὲν ὁ αὐτόθεν περὶ τοῦ πλείονος ἤδη καλοῦ, δεδιότες δὲ οἱ ἐπελθόντες μὴ ἔτι χείρω πράξωσιν. Θ. 7, 71, 1. Τὸ ἄλλο ἐκομίσθη, ἀνὴρ ἀντ' ἀνδρὸς λυθείς. Θ. 5, 3, 4. Ἀπεβλέψατε πρὸς ἀλλήλους ὡς αὐτὸς ἕκαστος οὐδὲν ποιήσων. Δη. 14, 15. Τὸ ἐγχειρισθῆναι αὐτοῖς πολεμίων πλῆθος πεφοβημένον, ἐπὶ τὸ μάχεσθαι οὐδένα τρεπόμενον, ἐς δὲ τὸ ἀπόλλυσθαι πάντας πάντα ὑπηρετοῦντας, πῶς οὐκ ἄν τις θεῖον ἡγήσαιτο; Ξε. Ἑλ. 4, 4, 12. (Ἅρμα ἐξήγετο, φοινικίσι καταπεπταμένοι οἱ ἵπποι. Ξε. Κυ. 8, 3, 12.) [Ἀνεγείρας τὴν ἐμὴν ἀηδόνα καλοῦμεν αὐτούς. Ἀρ. ὄρ. 203. vgl. Elmsley zu Eu. Med. 552.]

[A. 2. Dieselbe Verbindung ist statthaft, wenn beim Particip ein weiterer Begriff, beim bestimmten Verbum ein Theilbegriff desselben als Subject eintritt. Οἱ ἄνθρωποι λιπόντες τὴν ὁδὸν φεύγοντες ὀλίγοι ἀπέθνησκον. Ξε. ἀν. 4, 2, 7. Vgl. Th. 4, 108, 3. vgl. zu 1, 100, 3. 6, 3, 2.]

[A. 3. Bei Gegensätzen erlaubte man sich zuweilen einem im Nominativ gesetzten Particip zwei Subjecte anzufügen, wenn auch das Particip nur dem einem angehört. [Dem. 52, 30 vgl. Xen. Kyr. 4, 6, 3 und An. 1, 8, 27.] Πάχης προκαλεσάμενος ἐς λόγους Ἱππίαν — ὁ μὲν ἐξῆλθε παρ' αὐτόν, ὁ δ' ἐκεῖνον ἐν φυλακῇ ἀδέσμῳ εἶχεν. Θ. 3, 34, 3.]

(A. 4. Wirklich anakoluthartig wird der Nominativ des Particips auch auf einen (gesetzten oder zu denkenden) Accusativ, Dativ oder Genitiv des Hauptsatzes bezogen, theils weil man für den gewählten Ausdruck leicht einen synonymen mit dem Nominativ denken konnte, z. B. für ἦν πᾶσι βοή etwa πάντες ἐβόων; theils weil der Nominativ gewisser Maßen formlos ist. Vgl. § 45, 2, 2 u. 3. Λάϊε πάλαι δή σ' ἐξερωτῆσαι θέλων σχολή μ' ἀπεῖργεν. Εὐ. Παλ. 4. Θεῶν φόβος ἢ ἀνθρώπων νόμος οὐδεὶς ἀπεῖργε, τὸ μὲν κρίνοντες ἐν ὁμοίῳ καὶ σέβειν καὶ μή, τῶν δὲ ἁμαρτημάτων οὐδεὶς ἐλπίζων μέχρι τοῦ δίκην γενέσθαι βιοὺς ἂν τὴν τιμωρίαν ἀντιδοῦναι. Θ. 2, 53, 3. — Ἦν πᾶσ' ὁμοῦ βοή, ὁ μὲν στενάζων, ὅσον ἐτύγχανεν πνέων, αἱ δ' ἠλάλαζον. Εὐ. Βακ. 1131. Μετὰ ταῦτα ἡ ξύνοδος ἦν, Ἀργεῖοι μὲν ὀργῇ χωροῦντες, Λακεδαιμόνιοι δὲ βραδέως. Θ. 5, 70. — Τὰ περὶ Πύλον ὑπ' ἀμφοτέρων κατὰ κράτος ἐπολεμεῖτο, Ἀθηναῖοι μὲν περιπλέοντες, Πελοποννήσιοι δὲ ἐν τῇ ἠπείρῳ στρατοπεδευόμενοι. Θ. 4, 23, 2. Ἡ οἰμωγὴ εἰς ἄστυ διῆκεν, ὁ ἕτερος τῷ ἑτέρῳ παραγγέλων. Ξε. Ἑλ. 2, 2, 3.

A. 5. Als absolute Accusative gebrauchte man von impersonalen oder ohne Subject gesetzten Verben, im letztern Falle passiven oder passivartigen, das Neutrum der Participia; von den letzern am häufigsten Perfecte, hin und wieder Aoriste. So finden sich δέον da es nöthig ist, προσῆκον da es sich gebührt [z. Th. 4, 95, 1], ὄν, ἐξόν und παρόν da es erlaubt ist u. ä.; εἰρημένον da es gesagt, bestimmt war [z. Th. 1, 125 u. Kr. z. Arr. 1, 29, 2 lat. A.], προσταχθέν da es geheißen war u. ä.; [Hermann z. Vig. 213.] Hinzutreten können auch ὡς und ὥσπερ als ob, wie wenn. Οὐχ οὗτοι ἱκανοί εἰσιν ἀγωνισταὶ οἵτινες ἀγρυπνῆσαι δέον ἡττῶνται τούτου. Ξε. Κυ. 1, 5, 12. Ὑμεῖς ἂν οὐ χρεὼν ἄρχοιτε. Θ. 3, 40, 4. Τοὺς σκώπτειν δυναμένους εὐφυεῖς καλοῦσι, προσῆκον τῆς προσηγορίας ταύτης τυγχάνειν τοὺς ἄριστα πρὸς ἀρετὴν πεφυκότας. Ἰσ. 15, 284. Ἐκβῆναι οὐκ ὂν ἀναγκαῖον ἦν ἐπ' ἀγκύρας ἀποσαλεύειν. Δη. 50, 22. Ἐξὸν ζῆν ἡμῖν μὴ καλῶς καλῶς αἱρούμεθα μᾶλλον τελευτᾶν. Πλ. Μενεξ. 246. Μὴ τοὺς ἀμείνονας παρὸν φίλους ἑλέσθαι τοὺς κακίονας λάβῃς. Εὐ. Ἡρ. 178. [z. Xe. An. 5, 8, 3.] Βουλῆς νῦν ἄξιοι τυχεῖν, οὐ μετὸν αὐτῷ. Λυ. 31, 32. Ἀνδρῶν ἀγαθῶν ἐστιν ἐκ μὲν εἰρήνης πολεμεῖν, εὖ δὲ παρασχὸν ἐκ πολέμου πάλιν ξυμβῆναι. Θ. 1, 120, 3. Τί αὐτοῖς ὑπάρχον τῶν ἑτέρων κατηγοροῦσιν; Ἀνδ. 1, 92. Ἀμφοτέροις μὲν δοκοῦν ἀναχωρεῖν, κυρωθὲν δὲ οὐδὲν οἱ Μακεδόνες ἐχώρουν ἐπ' οἴκου. Θ. [z. 4, 125, 1; δόξαν 5, 65, 3. 8, 79, 1. 93, 1.] — Λακεδαιμόνιοι ἀδικήσουσιν Ἀθηναίους, εἰρημένον ἄνευ ἀλλήλων μήτε σπένδεσθαί τῳ μήτε πολεμεῖν. Θ. 5, 39, 2. Ἰατρῷ προστεταγμένον ὅλον τι θερα-

πεύειν τῶν μορίων ἀμελοῦντι ἕξει ποτὲ καλῶς αὐτῷ τὸ πᾶν; Πλ. νό. 902. — Ἀλκιβιάδης ἐτόλμησεν ἀναβῆναι, ὡς οὐκ ἐξεσόμενον τῇ πόλει δίκην παρὰ τῶν ἀδικούντων λαμβάνειν. Λυ. 14, 10. Οὐ δίκην παρὰ τῶν ἀδικούντων λαμβάνετε, ὥσπερ οὐ τῆς ζημίας αὐτοῖς μέλον. Λυ. 27, 16. Σιωπῇ ἐδείπνουν, ὥσπερ τοῦτο ἐπιτεταγμένον αὐτοῖς ὑπὸ κρείττονός τινος. Ξε. συ. 1, 11. (Ueber χρεών z. Th. 3, 40, 4, χρησθέν 3, 96, 1, τυχόν zu Xe. An. 5, 9, 20 u. Arr. An. 1, 10, 6 lat. A., παρατυχόν z. Th. 1, 76, 3.)

(A. 6. Mit ταῦτα findet sich δόξαντα ταῦτα und selbst δόξαν ταῦτα (wie δοκεῖ ταῦτα). Δόξαντα ὑμῖν ταῦτα εἵλεσθε ἄνδρας εἴκοσιν. Ἀνδ. 1, 81. Δόξαν ἡμῖν ταῦτα ἐπορευόμεθα. Πλ. Πρω. 314. Vgl. zu Xe. An. 4, 1, 13.)

A. 7. Eben so (wie A. 5) stehen auch Neutra von Adjectiven mit ὄν absolut; ohne ὄν wohl nur wenn ὡς hinzutritt. Παρεκελεύοντο κραυγῇ χρώμενοι, ἀδύνατον ὂν ἐν νυκτὶ ἄλλῳ τῳ σημῆναι. Θ. 7, 44, 4. Ἐγὼ οἶμαι ψηφίσασθαι ἂν τὸ πλῆθος συνελθὸν τοὺς κρατίστους καὶ τιμαῖς καὶ δώροις πλεονεκτεῖν, ἅμα μὲν συναγορευόντων ἡμῶν, ἅμα δὲ αἰσχρὸν ὂν ἀντιλέγειν. Ξε. Κυ. 2, 2, 20. — Ὡς οὐκ ἀναγκαῖον τὸ κλέπτειν αἰτιᾷ τὸν κλέπτοντα. Ξε. Κυ. 5, 1, 13. [Vgl. z. Th. 2, 35, 1. 3, 94, 3.]

A. 8. Sonst steht bei hinzugefügtem Subject, τούτου, τούτων ꝛc., der absolute Genitiv. Vgl. § 47, 4, 4. Τούτου ὑπάρχοντος τὰ τούτοις ἐφεξῆς ἡμῖν λεκτέον. Πλ. Τι. 30. Δόξαντος τούτου ᾤχετο. Ξε. Ἑλ. 1, 1, 36. Δοξάντων τούτων κατέλιπον τρεῖς ναῦς. Ξε. Ἑλ. 1, 7, 30. Ἐπίσταμαι τριήρεις πολλάκις ἐκπεμπομένας, τούτου μὲν ἀδήλου ὄντος εἴτε βέλτιον εἴτε κάκιον ἔσται· ἐκείνου δὲ δήλου ὅτι οὐδέποτε ἀπολήψονται ἃ ἂν εἰσενέγκωσιν. Ξε. π. πό. 3, 8. [Vgl. Cobet N. l. p. 326 s. ?]

A. 9. Ueber den ohne Subject ähnlich gebrauchten Ge. § 47, 4, 4 u. 5; über den absoluten Ge. überhaupt § 47, 4 und A. 2 u. 3.

A. 10. Mit hinzugefügtem Subject findet sich der absolute Accusativ (wie der Ge.) in Verbindung mit ὡς als ob und ὥσπερ gerade wie wenn. Τοὺς υἱεῖς οἱ πατέρες, κἂν ὦσι σώφρονες, ὅμως εἴργουσιν ἀπὸ τῶν πονηρῶν ἀνθρώπων, ὡς τὴν μὲν τῶν χρηστῶν ὁμιλίαν ἄσκησιν οὖσαν ἀρετῆς, τὴν δὲ τῶν πονηρῶν κατάλυσιν. Ξε. ἀπ. 1, 2, 20. Πολλοὶ τῶν ἀδελφῶν ἀμελοῦσιν, ὥσπερ ἐκ πολιτῶν μὲν γιγνομένους φίλους, ἐξ ἀδελφῶν δὲ οὐ γιγνομένους. Ξε. ἀπ. 2, 3, 3. Vgl. Elmsley zu Eu. Her. 693?

A. 11. Ueber den absoluten Dativ § 48, 5, 1. Als zum Particip gehöriges Nomen ist oft nicht bloß zum Ge. (§ 47, 4, 3), sondern auch zum Da. u. Ac. ein Pronomen zu ergänzen. Kr. zu Xe. An. 4, 1, 17 und 7, 1, 10, u. Reg. z. Th. u. Pronomen E.

10. Im temporalen Verhältnisse bezeichnet das Particip eine rein äußerlich der Zeit nach statt findende Verbindung, wie eben das Tempus des Particips sie andeutet: dem bestimmten Tempus Gleichzeitiges das Präsens, Vorzeitiges der Aorist und das Perfect, Bevorstehendes das Futur.

A. 1. Die Griechen, mit einer Fülle von Participien ausgestattet, gebrauchen die den Ausdruck verkürzende und kräftigende Participialconstruction ungleich häufiger als wir und selbst als die Lateiner (daher auch φιλομέτοχοι genannt). In vielen Fällen übersetzen wir die Participia durch das Relativ oder durch Conjunctionen: 1) das des Präsens durch wann (zur Zeit da), während, indem, da, so lange als, so oft als; 2) das des Aorists und Perfects durch wann, nachdem, als, da; 3) das des Futurs (oft die Nebenidee des Zweckes enthaltend) durch um, indem er sollte oder wollte ꝛc. Καὶ φύσει πως εὐάγωγόν ἐστι πᾶς ἀνὴρ ἐρῶν. Μέ. 340. (Πότερον κάλλιον πράττοι ἄν τις εἷς ὢν πολλὰς τέχνας ἐργαζόμενος ἢ ὅταν μίαν εἷς (ἐργάζηται); Πλ. πολ. 370.) Νεανίας ὅστις ὢν Ἄρη στυγεῖ κόμη μόνον καὶ σάρκες, ἔργα δ᾽ οὐδαμοῦ. Εὐ. αποσ. ἄδ. 30. Τί φῄς; λαθεῖν ζητῶν τι

πρὸς γυναῖκ' ἐρεῖς; Ἀντιφά. 284. Ἀργὸς οὐδεὶς θεοὺς ἔχων ἀνὰ στόμα βίον δύναιτ' ἂν συλλέγειν ἄνευ πόνου. Εὐ. Ἠλ. 80. Ὅτε μὲν ἐπίοι τὸ τῶν Ἀθηναίων στρατόπεδον ὑπεχώρουν, ἀναχωροῦσι δ' ἐπέκειντο. Θ. 3, 97, 3. — Πολλοὶ ἤδη ἐξαπατήσαντες καὶ διαλαθόντες τῶν παρόντων κινδύνων ἀπελύθησαν. Λυκ. 79. Γράμματα μαθεῖν δεῖ καὶ μαθόντα νοῦν ἔχειν. Μέ. μο. 96. Ἡδὺ σωθέντα μεμνῆσθαι πόνων. Εὐ. Ἀνδρομέδα 15. — Οἱ Ἕλληνες διαβεβηκότες ἀπεῖχον τῆς χαράδρας ὅσον ὀκτὼ σταδίους. Ξε. ἀν. 3, 4, 3. — Ὁ βάρβαρος τῷ μεγάλῳ στόλῳ ἐπὶ τὴν Ἑλλάδα δουλωσόμενος ἦλθεν. Θ. 1, 18, 3. — Οἷάπερ παρόντος ἐμοῦ λέγετε, τοιαῦτα καὶ περὶ ἀπόντος φρονεῖτε. Ἰσ. 3, 60. Πολεμοῦνται ἀσαφῶς ὁποτέρων ἀρξάντων. Θ. 4, 20, 3.

A. 2. Oft übersetzen wir das Particip durch ein verbales Substantiv und das Substantiv durch den Genitiv. Αἴας μ' ἀδελφὸς ὤλεσ' ἐν Τροίᾳ θανών. Εὐ. Ἑλ. 94. Ῥώμην καὶ ἡ νῆσος ἐμπρησθεῖσα παρεῖχεν. Θ. 4, 29, 2. Vgl. § 50, 11, 3.

A. 3. Verdeutlicht und näher bestimmt wird die temporale Bedeutung des Participis durch hinzugefügte Adverbia. So stehen vor dem Particip μεταξύ mitten in — und εὐθύς sogleich nach — (das Particip durch ein Substantiv zu übersetzen), nie so εὐθέως [Lobeck z. Phryn. p. 145***]; vor oder nach demselben ἅμα; nur nach demselben ἐνταῦθα δή, εἶτα, ἔπειτα, οὕτω, (τότε) ἤδη. (Eben so folgt zuweilen auch μετὰ ταῦτα und ἐκ τούτου.) Οἱ βάρβαροι καὶ φεύγοντες ἅμα ἐτίτρωσκον. Ξε. ἀν. 3, 3, 10. Ἅμα ταῦτ' εἰπὼν ἀνέστη. Ξε. ἀν. 3, 1, 47. — Τίς ἂν εἴη τοιοῦτος ἰατρὸς ὅστις τῷ νοσοῦντι μεταξὺ ἀσθενοῦντι μηδὲν συμβουλεύοι; Αἰ. 3, 225. — Οἱ Λακεδαιμόνιοι ἐπιπόνῳ ἀσκήσει εὐθὺς νέοι ὄντες τὸ ἀνδρεῖον μετέρχονται. Θ. 2, 39, 2. Τοῖς καλοῖς εὐθὺς ἰδόντες εὖνοι γιγνόμεθα. Ἰσ. 10, 56. (Ἐπιγενομένη ἡ νόσος ἐνταῦθα δὴ πάνυ ἐπίεσε τοὺς Ἀθηναίους. Θ. 2, 58. 2. zu Xe. An. 4, 3, 30.) — Οὐ θανεῖν ἔχθιστον, ἀλλ' ὅταν θανεῖν χρῄζων τις εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν. Σο. Ἠλ. 1008. Σκόπει τάδε, μὴ νῦν φυγόντες εἶθ' ἁλῶμεν ὕστερον. Εὐ. Ἀνδρ. 755. Οἱ ἄνθρωποι ἄνδρα ἡγησάμενοι εὐεργετεῖν ἱκανὸν εἶναι καὶ ἀπολαύειν αὐτοῦ ἀγαθὰ νομίσαντες ἔπειτα τοῦτον ἀνὰ στόμα ἔχουσιν ἐπαινοῦντες. Ξε. Ἱέρ. 7, 9. — Οἱ ζωγράφοι ἐκ πολλῶν συνάγοντες τὰ ἐξ ἑκάστου κάλλιστα οὕτως ὅλα τὰ σώματα καλὰ ποιοῦσι φαίνεσθαι. Ξε. ἀπ. 3, 10, 1. Ὑπὲρ μεγίστων καὶ καλλίστων κινδυνεύσαντες οὕτω τὸν βίον ἐτελεύτησαν. Λυ. 2, 79. — Τῷ ὑπερβάλλοντι τῶν ἐπαίνων φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν. Θ. 2, 35, 3. Κοινῇ ἀσκήσαντες τότε ἤδη, ἐὰν δοκῇ χρῆναι, ἐπιθησόμεθα τοῖς πολιτικοῖς. Πλ. Γο. 527. — (Εἴ τις δῶρα λαμβάνων μετὰ ταῦτα λέγει καὶ γιγνώσκει περὶ τῶν πραγμάτων, ἐξώλης ἔστω. Δείν. 2, 16. [vgl. Her. 8, 25.] Ἐν ἐμαυτῷ πεῖραν λαβὼν ἐκ τούτου καὶ ἄλλον ἤλαυνον. Ξε. ἀν. 5, 8, 15. vgl. Dem. 53, 24.)

(A. 4. Ἔρχεσθαι und ἰέναι mit dem Particip des Futurs stehen auch in uneigentlicher Bedeutung: ich bin im Begriff zu —, bei Attikern selten. [Elmsley zu Eu. Med. 1024.] Οἶσθα εἰς οἷον κίνδυνον ἔρχει ὑποθήσων τὴν ψυχήν. Πλ. Πρω. 313. Ὅπερ ᾖα νῦν ἐρῶν, ἡ ἀπληστία παρασκευάζει τυραννίδος δεηθῆναι. Πλ. πολ. 562. Ueber παρασκευάζεσθαι mit dem Part. des Fu. ohne ὡς z. Th. 2, 18, 1. vgl. 5, 8, 2.)

(A. 5. Mit einer kleinen Ungenauigkeit steht in relativen und Fragesätzen bei χρή und δεῖ das Particip mit dem Infinitiv, während eig. nur jenes zu χρή oder δεῖ gehört: was muß —, um zu —. Ποίαν χρὴ ποίῳ ἀνδρὶ συνοῦσαν ὡς ἀρίστους παῖδας τίκτειν; Πλ. Θε. 149. Τί χρὴ τὸν ἄθλιον δράσαντα σοὶ χαρίζεσθαι; Εὐ. Ἱπ. 1261. Ἦσαν ἐπὶ χαράδρᾳ, ἣν ἔδει διαβάντας πρὸς τὸ ὄρθιον ἐκβαίνειν. Ξε. ἀν. 4, 2, 3. z. Th. 2, 51, 1. vgl. Her. 8, 129, 1.)

11. Die temporale Verbindung kann auch eine bloß angenommene, hypothetische sein: im Fall, wenn.

A. So am häufigsten in allgemeinen Sätzen. Ὁ θυμὸς ἀλγῶν ἀσφάλειαν οὐκ ἔχει. Εὐ. ἀποσ. ἀδ. Στ. 20, 39. Ὦ τρὶς κακοδαίμων ὅστις ὢν πένης

γαμεῖ. Μέ. μο. 757. Πᾶς ἑαυτῷ συγγνώμην ἕξει κακῷ ὄντι. Πλ. πολ. 391. Οὐκ ἔστιν αἰσχρὸν ἀγνοοῦντα μανθάνειν. Μέ. μο. 405. Δυοῖν λεγόντοιν θατέρου θυμουμένου ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος. Εὐ. Πρωτ. 2. — Ῥίψας λόγον τις οὐκ ἀναιρεῖται πάλιν. Μέ. μο. 710. Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν. Εὐ. Κρῆσ. 6. Ῥᾷον παραινεῖν ἢ παθόντα καρτερεῖν. Μέ. μο. 471. Πόνου μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς. Σο. ἀποσ. 672. — Χρήματα κτωμένους εὐφραίνει καὶ κεκτημένους ἐλευθεριώτερον καὶ ἥδιον ζῆν ποιεῖ. Ξε. ἀπ. 1, 6, 3. — Ἐπὶ Κέκροπος ξυνῄεσαν βουλευσόμενοι ὡς τὸν βασιλέα. Θ. 2, 15, 1.

12. Verbundene Handlungen können leicht auch als auf einander einwirkende gedacht werden, und dem gemäß kann das Particip zu seinem Verbum auch in einem caussalen Verhältnisse stehen.

A. 1. So bezeichnet das Particip des Präsens und der Präterita auch das Mittel: dadurch daß, und selbst den Grund: deßhalb weil, da; das des Futurs den Zweck: um zu. Μὴ κρῖν' ὁρῶν τὸ κάλλος, ἀλλὰ τὸν τρόπον. Μέ. μο. 333. Πατὴρ ἀπειλῶν οὐκ ἔχει μέγαν φόβον. Μέ. μο. 440. Δαίμων ἐμαυτῷ γέγονα γήμας πλουσίαν. Μέ. μο. 132. — Ὁ ἄδικος λόγος νοσῶν ἐν αὐτῷ φαρμάκων δεῖται σοφῶν. Εὐ. Φοί. 471. Οἱ μεγάλα δαπανώμενοι πολλῶν δεόμενοι αἰσχροκερδέστατοί εἰσιν. Ἀνδ. 4, 32. Συνετὸς πεφυκὼς φεῦγε τὴν πανουργίαν. Γν. 574. Οὔτε μικρὸν οὔτε μέγα οὐδὲν τῶν δεόντων ποιούντων ὑμῶν κακῶς ἔχει τὰ πράγματα. Δη 4, 2. — Οὐκ ἐς λόγους ἐλήλυθ', ἀλλά σε κτενῶν. Εὐ. Τρῳ. 905. — (Λέγω τοῦδ' ἕνεκα, βουλόμενος δόξαι σοὶ ὅπερ ἐμοί. Πλ. Φαίδ. 102.)

A. 2. Verdeutlichen kann man die Angabe des Grundes, wenn man dem Particip ἅτε oder ὡς vorsetzt: ἅτε (selten οἷα vgl. z. Th. 2, 5, 2), wenn der Grund als äußerlicher (objectiv), in der Natur der Sache liegender), vorgestellt wird: da nämlich, quippe; ὡς, wenn die Erscheinung der Sache den Grund als Urtheil hervorbringt: wie, wie wenn, als ob, in der Voraussetzung, Meinung daß —. [Krit. Anal. 1 S. 160.] Ὁ Ἔρως, ἅτε αὐτὸς ὢν μόναρχος, ἄξει ἐπὶ πᾶσαν τόλμαν. Πλ. πολ. 574. Ἅτε ἀήθους τοῖς Λακεδαιμονίοις γεγενημένης τῆς τοιαύτης συμφορᾶς, πολὺ πένθος ἦν. Ξε. Ἑλ. 4, 5, 10. (Οἷα δὴ ἀπιόντων ἐπελαύνουσιν. Ξε. Ἑλ. 5, 4, 39.) — Οἱ βιασθέντες ὡς ἀφαιρεθέντες μισοῦσιν. Ξε. ἀπ. 1, 2, 10. Αἱ πόλεις ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι ζημίαν θάνατον πεποιήκασιν, ὡς οὐκ ἂν μείζονος κακοῦ φόβῳ τὴν ἀδικίαν παύσοντες. Ξε. ἀπ. 2, 2, 3. Ἐρώτα ὅ, τι βούλει ὡς τἀληθῆ ἐροῦντος (erg. ἐμοῦ). Ξε. Κυ. 3, 1, 9.

(A. 3. Die Partikeln ἅτε und ὡς erscheinen auch (ohne ὤν) bei einem bloßen Nomen. Τοὺς τῆς τραγῳδίας ποιητὰς εἰς τὴν πολιτείαν οὐ παραδεξόμεθα, ἅτε τυραννίδος ὑμνητάς. Πλ. πολ. 568. [Schneider zu Plat. Rep. 551, e.] Ἀναβαίνει ὁ Κῦρος λαβὼν Τισσαφέρνην ὡς φίλον. Ξε. ἀν. 1, 1, 2. Ueber οἷα Pflugk zu Eu. Andr. 912.)

A. 4. Nach einem caussalen Particip kann auch οὕτως eintreten; eben so verdeutlichend und verstärkend διὰ τοῦτο, διὰ ταῦτα. Παντὸς μᾶλλον αὐτὸς ἀπορῶν οὕτως καὶ τοὺς ἄλλους ποιῶ ἀπορεῖν. Πλ. Μέν. 80. Νομίζων ἀμείνονας καὶ κρείττους πολλῶν βαρβάρων ὑμᾶς εἶναι διὰ τοῦτο προσέλαβον. Ξε. ἀν. 1, 7, 3. Σωκράτης οἴεσθαι ἔφη τὸν Ὀδυσσέα Ἑρμοῦ τε ὑποθημοσύνῃ καὶ αὐτὸν ἐγκρατῆ ὄντα διὰ ταῦτα οὐδὲ γενέσθαι ὗν. Ξε. ἀπ. 1, 3, 7. vgl. z. Xe. An. 1, 7, 3 u. dort Kr.

13. Sogar auch gegensätzlich kann das Particip seinem Verbum beigefügt werden.

A. 1. Gewöhnlich ist es in diesem Falle durch obgleich übersetzbar, mitunter durch welcher. (Auch hier fehlt ὤν zuweilen.) Πολλοὶ μὲν ὄντες εὐγενεῖς εἰσιν κακοί. Εὐ. Ἠλ. 553. Ἀνὴρ δίκαιος οὐχ ὁ μὴ ἀδικῶν, ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος οὐ βούλεται. Φιλή. 92. Ἔρχεται τἀληθὲς εἰς

φῶς ἐνίοτ' οὐ ζητούμενον. Μέ. 416. Πολλοὺς ὁ καιρὸς οὐκ ὄντας ποιεῖ φίλους. Μέ. μο. 446. — Δὶς τό γε καλὸν ῥηθὲν οὐδὲν βλάπτει. Πλ. νό. 754. — Πολλῶν κατὰ γῆν καὶ κατὰ θάλατταν θηρίων ὄντων μέγιστόν ἐστι θηρίον γυνή. Μέ. 477. Vgl. § 57, 2, 5.

A. 2. Verdeutlicht wird dieses Particip durch ein vorgesetztes καί auch, selbst, negativ οὐδέ, μηδέ, und καίπερ obgleich, das bei den Attikern nicht leicht anders als mit dem Particip oder einer participartigen Construction vorkommt, während καίτοι nur bei einem selbständigen Satze eintritt. [Kr. Stud. 2 S. 49.] Erst bei Spätern werden beide öfter auch umgekehrt gebraucht. Vgl. Kr. z. Arr. 1, 5, 7. [Auch Plat. Symp 219, Rep. 511, Lys. 31, 34?] Καὶ δοῦλος ὢν τίμιος πλουτῶν ἀνήρ. Εὐ. Ἀνδρομέδα 20. Αἱ συμφοραὶ καὶ βραχὺν ὄντα μακρὸν δοκεῖν εἶναι ποιοῦσι τὸν βίον. Ἡρ. 7, 46, 2. Κύπρις οὐδὲ νουθετουμένη χαλᾷ. Εὐ. Δίκ. 6. Γυναικὶ πείθου μηδὲ τἀληθῆ κλύων. Εὐ. Ἱπ. καλ. 11. — Συμβουλεύω σοι, καίπερ νεώτερος ὤν. Ξε. Κυ. 4, 5, 32. Διαπεπραγμένος ἧκε, καίπερ πάνυ πολλῶν ἀντιλεγόντων. Ξε. ἀν. 2, 3, 25. Οὐκ ἂν προδοίην καίπερ ἄψυχον φίλον. Εὐ. Πρωτε. 7. Λέγεις ἀληθῆ, καίπερ ἐκ μακροῦ χρόνου. Σο. ΟΤ. 1141.

A. 3. Urgirt wird der Gegensatz durch ein zugefügtes ὅμως, das auch dem Particip sich anschließen und nicht minder vor demselben stehen kann. [z. Th. 5, 61, 3.] Ἦ δοκεῖ τίς σοι, γιγνώσκων τὰ κακὰ ὅτι κακά ἐστιν ὅμως ἐπιθυμεῖν αὐτῶν; Πλ. Μέν. 77. — (Καὶ θνήσκουσ' ὅμως, πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν. Εὐ. Ἑκ. 568. — Πείθου γυναιξίν, καίπερ οὐ στέργων ὅμως. Αἰσ. ἑπ. 712. vgl. Dial. Sy. A. 2. —) Φοβεῖται μὴ ἡ ψυχὴ ὅμως καὶ θειότερον καὶ κάλλιον ὂν τοῦ σώματος προαπολλύηται. Πλ. Φαίδ. 91. Οὓς ἂν αἰσθάνωμαι ὅμως καὶ εὖ πάσχοντας ἔτι ἀδικεῖν πειρωμένους, τούτους ὡς ἀνηκέστους πλεονέκτας ὄντας ἤδη καὶ τῆς χρήσεως ἀποπαύω. Ξε. οἰκ. 14, 8. Ὅμως πρός γε τὰς ἄλλας τέχνας καίπερ οὕτω πραττούσης φιλοσοφίας τὸ ἀξίωμα μεγαλοπρεπέστερον λείπεται. Πλ. πολ. 495.

IV. Verschiedene Casus von Participien durch Conjunctionen, mehrere Participia ohne Conjunctionen verbunden. Ergänzung.

14. Copulative und adversative Partikeln können Participia von verschiedener Bedeutung und selbst von verschiedener Form verbinden.

A. 1. So kann mit einem caussalen ein hypothetisches Particip verbunden werden. Νομίσαντες ἐλασσωθήσεσθαι καὶ ὄντες ἐπίτιμοι νεωτεριοῦσιν. Θ. 5, 34, 2. [vgl. zu Xe. An. 1, 7, 4.] Ὑμῶν ἀνδρῶν ὄντων καὶ εὐτόλμων γενομένων ἐγὼ ὑμῶν τὸν οἴκαδε βουλόμενον ἀπιέναι τοῖς οἴκοι ζηλωτὸν ποιήσω ἀπελθεῖν. Ξε. ἀν. 1, 7, 4. Ἔφη κατὰ τὸ εἰκὸς κρατήσειν σφᾶς τῶν πολεμίων, ἀνδρίας μὲν σφίσιν ὑπαρχούσης, εὐταξίας δὲ προςγενομένης. Θ. 6, 72, 3. [Vgl. Reg. z. Th. u. καί I, 1.]

A. 2. Noch auffallender verbindet sich z. B. mit einem regierten Ge. ein absoluter, mit einem absoluten ein No. oder Da., ein No. mit einem absoluten Ge., ein Da. mit einem No. rc. [zu Xe. An. 1, 10, 6 u. Reg. z. Th. u. Particip 2.] Ein auch im Lateinischen vorkommender Sprachgebrauch, am freisten bei Livius, oft mißverstanden. Τὰ ἐπιτήδεια εἶχον ἐκ τῆς ἐν μέσῳ χώρας πολλῆς καὶ ἀγαθῆς οὔσης καὶ τῶν ἐπιτηδείων ἐνόντων. Ξε. ἀν. 2, 4, 22. Ἀλκιβιάδης τοῖς Πελοποννησίοις ὕποπτος ὢν καὶ ἀπ' αὐτῶν ἀφικομένης ἐπιστολῆς ὥστ' ἀποκτεῖναι ὑποχωρεῖ παρὰ Τισσαφέρνην. Θ. 8, 45, 1. Οἱ Ἕλληνες παρασκευάζονται ὡς ταύτῃ προςιόντος (βασιλέως) καὶ δεξόμενοι. Ξε. ἀν. 1, 10, 6. [z. Th. 1, 65, 1.] — Εἰςήλθομεν εἰς τὸν πόλεμον ἔχοντες τριήρεις οὐκ ἐλάττους τετρακοσίων, ὑπαρχόντων δὲ πολλῶν χρημάτων, ἄρχοντες δὲ τῶν νήσων ἁπασῶν. Ξε. ἀν. 7, 1, 21. [vgl. z. Th. 4, 8, 6. 41, 3.] — Οὐδαμόθεν μαθὼν οὐδὲ ὄντος διδασκάλου οὐ-

δενὸς αὐτῷ ἔπειτα συμβουλεύειν ἐπιχειρεῖ. Πλ. Πρω. 319. Ἤλπιζον ῥᾳδίως αἱρήσειν οἰκοδόμημα διὰ ταχέων εἰργασμένον καὶ ἀνθρώπων ὀλίγων ἐνόντων. Θ. 4, 8, 3. [vgl. 4, 13, 1.] — Τῷ τείχει προςέβαλον ὄντι ἀσθενεῖ καὶ ἀνθρώπων οὐκ ἐνόντων. Θ. 2, 25, 1. Οὓς χεῖρας προϊσχομένους καὶ ζωγρήσαντες διεφθείρατε, πῶς οὐ δεινὰ εἴργασθε; Θ. 3, 66, 2. — Μεταπεμφθέντες ἦλθον ἢ οὐδενὸς καλέσαντος. Λυ. 4, 11. [vgl. z. Th. 4, 5.] Καρποὺς ἀφθόνους εἶχον οὐχ ὑπὸ γεωργίας φυομένους, ἀλλ' αὐτομάτης ἀναδιδούσης τῆς γῆς. Πλ. πολιτ. 272.

Οὐχ ἡσύχαζον, ἀνδρῶν τε σφίσιν ἐνόντων καὶ ἅμα περὶ τῷ χωρίῳ δεδιότες. Θ. 1, 67, 1. — Ἔμαθον ἃ φῂς αὐτὰς ἐπίστασθαι ὡς οὔτε χρήσιμα ὄντα πρὸς τὸν βίον οὔτε ποιήσουσαι αὐτῶν οὐδέν. Ξε. ἀπ. 2, 7, 8. Ἡ γονὴ τρέφει τε καὶ ἐπιμελεῖται οὔτε προπεπονθυῖα οὐδὲν ἀγαθὸν οὔτε γιγνώσκον τὸ βρέφος ὑφ' ὅτου εὖ πάσχει οὐδὲ σημαίνειν δυνάμενον ὅτου δεῖται. Ξε. ἀπ. 2, 2, 5. Κάλλιστον ὅτι μάλιστα ἡσυχίαν ἄγειν ἐν ταῖς ξυμφοραῖς καὶ μὴ ἀγανακτεῖν, ὡς οὔτε δήλου ὄντος τοῦ ἀγαθοῦ τε καὶ κακοῦ τῶν τοιούτων, οὔτε εἰς τὸ πρόσθεν οὐδὲν προβαῖνον τῷ χαλεπῶς φέροντι, οὔτε τι τῶν ἀνθρωπίνων ἄξιον ὂν μεγάλης σπουδῆς. Πλ. πολ. 604. — Εἶδεν εἴτε δή τινος εἰπόντος εἴτ' αὐτὸς συνεὶς ὅτι σωτηρία μόνη γένοιτ' ἂν αὐτῷ ἡ ὑμετέρα φιλανθρωπία. Δη. 23, 156. — Ἐν ὀλιγωρίᾳ ἐποιοῦντο, ὡς ὅταν ἐξέλθωσιν ἢ οὐχ ὑπομενοῦντας σφᾶς ἢ ῥᾳδίως ληψόμενοι βίᾳ. Θ. 4, 5. — Αἰσχυνοίμην ἄν, εἰ γεγονὼς μὲν ἀφ' Ἡρακλέους, τοῦ δὲ πατρὸς βασιλεύσαντος, αὐτὸς δ' ἐπίδοξος ὢν τυχεῖν τῆς τιμῆς ταύτης περιίδοιμι τὴν χώραν τοὺς οἰκέτας τοὺς ἡμετέρους ἔχοντας. Ἰσ. 6, 8. Ἐκείνοις οὐκ ἐβούλετο μάχεσθαι, ἄλλως τε καὶ εὐτυχηκόσι, τῶν δὲ ἀποτετυχηκότων. Ξε. Ἑλ. 7, 5, 14. Οἴονται χρῆναι οὕτω ῥᾳδίως ὃν ἂν βούλωνται κακῶς ποιεῖν, ὥσπερ τῶν μὲν ἄλλων ἀδικούντων, ἄριστοι δὲ ἄνδρες αὐτοὶ γεγενημένοι. Λυ. 25, 31. Ἅτε οἰκίας τε καὶ ξυσσίτια κοινῇ ἔχοντες, ἰδίᾳ δὲ οὐδενὸς οὐδὲν τοιούτου κεκτημένου ὁμοῦ δὴ ἔσονται. Πλ. πολ. 458. Ἐνόμιζον τῶν Συρακοσίων τοὺς ἱππέας πολλοὺς ὄντας, σφίσι δ' οὐ παρόντων ἱππέων βλάπτειν ἂν μεγάλα. Θ. 6, 64, 2.

15. Einem bestimmten Verbum finden sich oft mehrere Participia ohne Conjunctionen angefügt, doch auf mehr als eine Weise. [Kr. in den krit. Anal. 1 S. 163 f.]

A. 1. Selten ist ein wirkliches Asyndeton von Participien. Τὰ δέκα τάλαντα ὁρώντων, φρονούντων, βλεπόντων ἔλαθον ὑμῶν ὑφελόμενοι. Αἰ. 3, 94.

A. 2. Häufig schließt sich ein Particip dem andern an, indem man z. B. für λαβὼν συνέλεξε καὶ ἐπολέμει sagen kann λαβὼν συλλέξας ἐπολέμει. Ὁ Κῦρος ὑπολαβὼν τοὺς φεύγοντας συλλέξας στράτευμα ἐπολιόρκει Μίλητον. Ξε. ἀν. 1, 1, 7. Ἀρχέλαος τὸν θεῖον μεταπεμψάμενος ξενίσας καὶ καταμεθύσας ἐμβαλὼν εἰς ἅμαξαν νύκτωρ ἐξαγαγὼν ἀπέσφαξε καὶ ἠφάνισεν. Πλ. Γο. 471. — Κατάσκοπον πέμψαντες ἀπαγγείλαντος αὐτοῖς ὡς εἴη ταῦτα ἀληθῆ τοὺς Ἐρυθραίους εὐθὺς ξυμμάχους ἐποιήσαντο. Θ. 8, 6, 4. — Οἱ πρόγονοι ἀμφοτέρων περιγεγόνασι καὶ τῶν πολεμίων καὶ τῶν συμμάχων, ὡς ἑκατέρων προςῆκε (vgl. § 55, 4, 11.), τοὺς μὲν εὐεργετοῦντες τοὺς δὲ μαχόμενοι νικῶντες. Λυκ. 70. — Ἄδικοι ὄντες λισσόμενοι ὑπερβαίνοντες καὶ ἁμαρτάνοντες πείθοντες αὐτοὺς ἀζήμιοι ἀπαλλάξομεν. Πλ. πολ. 366.

A. 3. Das eine Particip kann dem andern auch appositiv beigefügt werden. Ἐξέτασιν ποιήσαντες ἐν τοῖς ἱππεῦσι, φάσκοντες εἰδέναι βούλεσθαι πόσοι εἶεν, ἐκέλευον ἀπογράφεσθαι πάντας. Ξε. Ἑλ. 2, 4, 8. Ἐντυχὼν ἀνθρώπῳ ὀφθαλμιῶντι, ἀπιόντι ἐξ ἰατρείου κάλαμον ἔχοντι, ἀπέκτεινεν. Ξε. Ἑλ. 2, 1, 3.

A. 4. Ein Particip kann mit einem Verbum zu einem Begriffe verschmelzen und diesem so verbundenen Begriffe ein anderes Particip beigefügt werden.

Ὠιόμεθ' ὑμᾶς πειθομένους τὰ παρ' ὑμῖν φοβηθέντας οἴχεσθαι ἀποδράντας ἐπὶ θάλασσαν. Ξε. ἀν. 6, 1, 26. Ἡ πόλις ἀγωνιζομένη περὶ πρωτείων καὶ τιμῆς καὶ δόξης κινδυνεύουσα πάντα τὸν αἰῶνα διατετέλεκεν. Δη. 18, 203. Ἐπιθυμῶ ἐκταθείς, ὥσπερ Ὀδυσσεύς, καθεύδων ἀφικέσθαι εἰς τὴν Ἑλλάδα. Ξε. ἀν. 5, 1, 2.

A. 5. Doch können zwei Participia einem Verbum auch in verschiedener Beziehung angefügt sein. Ἆρα προςδοκᾷς ποτέ τινά τι ἱκανῶς ἂν στέρξαι ὃ πράττων ἂν ἀλγῶν τε πράττοι δὴ καὶ μόγις σμικρὸν ἀνύτων; Πλ. πολ. 486. Ὤμοσαν σφάξαντες κάπρον βάπτοντες οἱ μὲν Ἕλληνες ξίφος, οἱ δὲ βάρβαροι λόγχην. Ξε. ἀν. 2, 2, 9. Θύσαντες, ἐπεὶ καλλιερήσαντο, ἀριστήσαντες ὀρθίους τοὺς λόχους ποιησάμενοι ἐπορεύοντο τοὺς τοξότας μεταξὺ τῶν λόχων ἔχοντες. Ξε. ἀν. 5, 4, 22. — Προδραμόντες διαβάντες τὴν χαράδραν, ὁρῶντες πρόβατα πολλά, προςέβαλλον πρὸς τὸ χωρίον. Ξε. ἀν. 5, 2, 4.

A. 6. Prädicativ kann ein Particip einem andern selbst in Verbindung mit dem Artikel zugefügt werden, wie ζῶν ἔχεται so ὁ ζῶν ἐχόμενος ꝛc. vgl. § 50, 12, 1 u. z. Th. 1, 75, 2. Οἱ ζῶντες καταλειπόμενοι τραυματίαι τε καὶ ἀσθενεῖς πολὺ τῶν τεθνεώτων τοῖς ζῶσι λυπηρότεροι ἦσαν. Θ. 7, 75, 2. Παρεγένοντο ἤδη τῶν ἀνδρῶν τῶν μὲν διεφθαρμένων, τῶν δὲ ζώντων ἐχομένων. Θ. 2, 5, 2. Τῷ σφενδονᾶν ἐντεταγμένῳ ἐθέλοντι ἄλλην τινὰ ἀτέλειαν εὑρίσκωμεν. Ξε. ἀν. 3, 3, 18. Ἀπεκρίνατο Θεαγένους ἀδελφὴ εἶναι τοῦ πεσόντος ἐν Χαιρωνείᾳ στρατηγοῦντος. Πλουτ. Ἀλεξ. 12.

16. Oft ist das Particip (wie der Infinitiv § 55, 4, 11) zu einem Verbum aus einem in der Nähe stehenden Verbum zu ergänzen.

A. So zu τυγχάνειν, (vgl. 56, 4, 2.) λανθάνειν, φθάνειν; παύειν, λήγειν, διατελεῖν; ὁρᾶν u. a. Πρὸς ὀργὴν ἥντινα τύχητε ἔστιν ὅτε σφαλέντες τὴν τοῦ πείσαντος μίαν γνώμην ζημιοῦτε. Θ. 3, 43, 4. Τῶν πολεμίων τὰ μὲν ἐκ Σικελίας δι' ὀλίγου ποριουμένων, τὰ δ' ἐκ Πελοποννήσου σχολαίτερον μέν, ὅμως δ', ἢν μὴ προςέχητε τὴν γνώμην, τὰ μὲν λήσουσιν ὑμᾶς, τὰ δὲ φθήσονται. Θ. 7, 15, 2. — Οὐκ ἀρχῆς ἐφιέμεθα, παῦσαι δὲ μᾶλλον ἑτέρους σπεύδομεν. Θ. 4, 87, 3. Ἔλεγον χρῆναι ἔτι ζητεῖν καὶ μὴ παύσασθαι. Ἀνδ. 1, 36. Τὰ μὲν σ' ἐπαινῶ κοὐδαμῇ λήξω ποτέ. Αἰσ. Προ. 340. Ἄργος καὶ Θῆβαι καὶ Λακεδαίμων καὶ τότ' ἦσαν μέγισται καὶ νῦν ἔτι διατελοῦσιν. Ἰσ. 4, 64. — Ὡρμίσαντο καὶ αὐτοί, ἐπειδὴ καὶ τοὺς Ἀθηναίους εἶδον. Θ. 2, 86, 2. [z. Th. 1, 73, 3.] Ἀντεπλήρουν τὰς ναῦς εὐθύς, ἐπειδὴ καὶ τοὺς Ἀθηναίους ᾐσθάνοντο [erg. πληροῦντας]. Θ. 7, 69, 1. Οἱ Λακεδαιμόνιοι οὐ ῥᾳδίως ἔφερον, ἀλλὰ καίπερ οὐ βουλόμενοι ἔνδηλοι εἶναι τοῖς Ἀθηναίοις, ἐπρεσβεύοντο παρ' αὐτούς. Θ. 4, 41, 3.

V. Verbalia.

17. Participia sind auch die Verbalia auf *τός* und *τέος*.

A. Ueber die Bedeutung derer auf τός § 41, 11, 25 f. Zuweilen stehen sie auch in der Bedeutung unseres — werth, wie ψεκτός tadelnswerth. Τοῖς μὲν γένει πολίταις ἱκανόν ἐστι λειτουργεῖν ὡς οἱ νόμοι προστάττουσι, τοὺς δὲ ποιητοὺς ὡς ἀποδιδόντας χάριν, οὕτω προςήκει φαίνεσθαι λειτουργοῦντας. Δη. 45, 78. — Ὁρῶν τὰ ὁρατὰ καὶ ἀκούων τὰ ἀκουστὰ γιγνώσκεις. Ξε. Κυ. 1, 6, 2. Ἁλωτὰ γίγνεθ' ἐπιμελείᾳ καὶ πόνῳ ἅπαντα. Μέ. 134. — Ἢ μὴ ποίει τὸ κρυπτὸν ἢ μόνος ποίει. Μέ. μο. 225. Ὅσα μὲν ἂν νοῦς τε καὶ διάνοια ἐργάσηται, ταῦτά ἐστι τὰ ἐπαινετά, ἃ δὲ μή, ψεκτά. Πλ. Κρατ. 416. Τὰ μὲν διδακτὰ μανθάνω, τὰ δ' εὑρετὰ ζητῶ, τὰ δ' εὐκτὰ παρὰ θεῶν ᾐτησάμην. Σο. αποσ. 723.

Τὸ προαιρεῖσθαι τὸ κατεπεῖγον πράττειν ἐθίζοιμεν ἂν τὸν εἰς τὸ ἄρχειν παιδευόμενον, ὅπως μὴ τὰ τῆς πόλεως ἄπρακτα γίγνηται παρὰ τὴν ἐκείνου ἀρχήν. Ξε. ἀπ. 2, 1, 2. Εἴωθε τῶν πόλεων αἷς ἂν μάλιστα ἀπροςδόκητος εὐπραξία ἔλθῃ, ἐς ὕβριν τρέπειν. Θ. 3, 39, 4. Περὶ τῆς αὐτίκα ἀνελπίστου

σωτηρίας τὸ πρόθυμον εἶχον. Θ. 6, 69, 5. Ὁ Πειραιεὺς ἦν ἀφύλακτος καὶ ἄκληστος. Θ. 2, 93, 1. — Αἱρεῖ τὴν πόλιν ἀφυλάκτοις τε ἐπιπεσὼν καὶ ἀπροσδοκήτοις. Θ. 7, 29, 2. Οἱ Ἀθηναῖοι οὐχ ὁρῶντες χρήματα ἐν τῷ κοινῷ ἀνέλπιστοι ἦσαν σωθήσεσθαι. Θ. 8, 1, 2. Οἱ ἐπίκλητοι εὐπρεπῶς ἄδικοι ἐλθόντες εὐλόγως ἄπρακτοι ἀπίασιν. Θ. 4, 61, 5. Ὁ νομοθέτης τὸν ἀστράτευτον οὐκ ἐᾷ στεφανοῦσθαι. Αἰ. 3, 176.

18. Die Verbalia auf *τέος* (§ 42, 11, 27) stehen gew. mit *εἶναι*, von dem jedoch *ἐστίν* häufig ausgelassen wird, entweder persönlich als Prädicate eines Subjects oder unpersönlich im Neutrum, gewöhnlich des Singulars. Die Person von der die Handlung gefordert wird, steht im ersten Falle immer, im zweiten mehrentheils im Dativ. [Nie dabei *ὑπό τινος*.]

A. 1. Persönlich stehen sie (von transitiven Verben), wenn das Subject als Hauptbegriff hervortritt. Οὐ πρό γε τῆς ἀληθείας τιμητέος ἀνήρ, ἀλλ' ὃ λέγω ῥητέον. Πλ. πολ. 595. Οἱ συμμαχεῖν ἐθέλοντες εὖ ποιητέοι. Ξε. ἀπ. 2, 6, 27. Τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα. Σο. Ἠσ. 390. Ἃ τοῖς ἐλευθέροις ἡγοῦντο εἶναι πρακτέα, ταῦτα τοῖς δούλοις ἀπεῖπον μὴ ποιεῖν. Αἰ. 1, 138. (Πολλῶν ἔτι μοι λεκτέων ὄντων ἀνάγνωθι τὰ περὶ τῆς ἡγεμονίας. Ἰσ. 15, 59.) Περὶ τῶν ὑμῖν πρακτέων ὕστερον βουλεύσεσθε. Δη. 6, 28. [Ausdrücke wie βασιλευτέα ἡ πόλις, ἐπιτρεπτέος ὁ ἀνήρ für ἐπιτρεπτέον τῷ ἀνδρί vgl. § 52, 4, 1 u. 2 scheinen nicht vorzukommen. Ueber den Plu. § 44, 4, 2; über συνεκποτέα ἐστί σοι τὴν τρύγα u. ä. z. Th. 1, 86, 2.]

A. 2. Unpersönlich stehen sie, wenn die Handlung die Hauptsache ist. Ueber den Plural § 44, 4, 2. Οἰστέον τὴν τύχην. Εὐ. Ἴων 1260. Τὰς χρηστὰς καὶ ἡδονὰς καὶ λύπας καὶ αἱρετέον ἐστὶ καὶ πρακτέον. Ἕνεκα γάρ που ἀγαθῶν ἅπαντα ἡμῖν ἔδοξε πρακτέον εἶναι. Πλ. Γο. 499. Ἐνιά ἐστιν ἃ οὐ πρὸς ἀνθρώπους ἀγωνιστέον, ἀλλὰ πρὸς αὐτὰ τὰ πράγματα. Ξε. Κυ. 1, 6, 9. Τῷ ἀδικοῦντι δοτέον δίκην. Πλ. Εὐθύφ. 8. — Οὐ γυναικῶν οὐδέποτ' ἔσθ' ἡττητέα ἡμῖν. Ἀρ. Λυ. 450.

A. 3. Bei der unpersönlichen Construction findet sich, da sie mit δεῖ synonym ist (Plat. Rep. 431, d), nicht selten statt des Dativs (neben demselben Thuk. 8, 65, 3) auch der Accusativ [vgl. z. 1, 86, 2], wobei ἐστίν immer zu fehlen scheint (Göttling zu Aristot. Pol. S. 350). Οὐ δουλευτέον τοὺς νοῦν ἔχοντας τοῖς κακῶς φρονοῦσιν. Ἰσ. 9, 7. Οὐδενὶ τρόπῳ φαμὲν ἑκόντας ἀδικητέον εἶναι. Πλ. Κρίτ. 49.

A. 4. Diese Verbalia stehen oft auch im Sinne ihrer Media und ebenso medialer Passiva: φυλακτέον man muß sich hüten (τί vor etwas), πειστέον man muß gehorchen ꝛc. vgl. § 52, 6, 1. Φυλακτέον τὸν ἔρωτα. Πλ. συ. 187. (vgl. § 52, 10, 7.) Πειστέον πατρὸς λόγοις. Εὐ. Ἱπ. 1182. Εἶπεν ὅτι ἑκτέον μου εἴη. Ξε. Ἑλ. 6, 1, 13. Τοῦ νουθετεῖν καὶ συμβουλεύειν ἀφεκτέον. Ἰσ. 2, 49. Μουσικῆς πρότερον ἁπτέον ἢ γυμναστικῆς. Πλ. πολ. 377. Εἰ μέλλομέν ποτε καθαρῶς τι εἴσεσθαι, ἀπαλλακτέον τοῦ σώματος. Πλ. Φαίδ. 66. — Πολλὴ εὐλάβεια ὑμῖν τούτων ποιητέα ἐστίν. Ἀντ. 3, γ, 11. Ὄρη ὑμῖν ὁρᾶτε ὄντα πορευτέα. Ξε. ἀν. 2, 5, 18.

Zweite Abtheilung: Synthesis.

Erster Abschnitt: Verbindung nominaler Begriffe.

Vorerinnerung. Der synthetische Theil der Syntax erörtert die mannigfachen Verbindungsweisen welche zwischen einzelnen Begriffen unter einander und die welche in Satzverhältnissen eintreten.

§ 57. Syntaktische Verbindung nominaler Begriffe.

I. Attributive Verbindung.

1. Das Attributiv eines Substantivs kann zunächst ein Substantiv sein, wo denn beide Substantive gleichsam ein parathetisches Compositum bilden.

A. 1. Von persönlichen Bezeichnungen finden sich so am häufigsten, selten in Verbindung mit dem Artikel, ἀνήρ (wie γυνή) und (ὁ, ἡ) ἄνθρωπος (dies gewöhnlich geringschätzig) mit Benennungen des Standes, Geschäftes, Alters. Nicht hinzugefügt werden ἀνήρ ꝛc., wenn sie nicht in irgend einer Beziehung hervorzuheben sind: ἰδιώτης ein Privatmann, ἀνὴρ ἰδιώτης ein Mann der im Privatverhältnisse lebt. Jenes bezeichnet schlechtweg den Stand, dieses einen Mann in sofern er dem Stande angehört. Oft ist die Hinzufügung des ἀνήρ ehrend. Λυπηρότερον ἐκ βασιλέως ἰδιώτην φανῆναι ἢ ἀρχὴν μὴ βασιλεῦσαι. Ξε. ἀν. 7, 7, 28. — Ἀνδρὶ τυράννῳ ἢ πόλει ἀρχὴν ἐχούσῃ οὐδὲν ἄλογον ὅ, τι ξυμφέρον οὐδ' οἰκεῖον ὅ, τι μὴ πιστόν. Θ. 6, 85, 1. Ἀνὴρ ἰδιώτης ἐν πόλει δημοκρατουμένῃ νόμῳ καὶ ψήφῳ βασιλεύει. Αἰ. 3, 233. Ἀνὴρ ὁπλίτης δοῦλός ἐστι τῶν ὅπλων. Εὐ. Ἡρ. μ. 190. Δεινὸν εἴ τις κατ' ἀνδρὸς πολίτου τολμᾷ τοιαῦτα καταψεύδεσθαι. Αἰ. 2, 87. Οἱ Σπαρτιᾶται οὐ ταχεῖς ἦσαν περὶ ἀνδρὸς Σπαρτιάτου ἄνευ ἀναμφισβητήτων τεκμηρίων βουλεῦσαί τι ἀνήκεστον. Θ. 1, 132, 5. — Ἀνὴρ ῥήτωρ πάντων τῶν κακῶν αἴτιος. Αἰ. 3, 253. Καλόν τι ἄν μοι δοκοῦμεν ποιῆσαι, εἰ προθύμως Γαδάτᾳ βοηθήσαιμεν, ἀνδρὶ εὐεργέτῃ. Ξε. Κυ. 5, 3, 31. Δεινόν τ' ὡς ἀληθῶς κινδυνεύει καὶ ἀηδὲς εἶναι ἀνὴρ ἀδολέσχης. Πλ. Θε. 195. Γέροντι πείθου ἀνδρί. Θέογνις 1351. Ἀνδρὸς ὀργῶντος εἰς Κύπριν νεανίου ἀφύλακτος ἡ τήρησις. Εὐ. Ἀντιγ. 6. Γυναικὶ αἰσχρὸν μετ' ἀνδρῶν ἑστάναι νεανιῶν. Εὐ. Ἀλ. 344. Ἐχθρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ. Ἀρ. ἀποσπ. 497. (Meineke 588.) Δῶρά τις δίδωσι μοιχῷ γραῦς γυνή. Ἀρ. θε. 345.

Δεινὸν ἦν προέσθαι δυστυχοῦντας ἀνθρώπους πολίτας. Δη. 19, 172. Βούλοιο ἂν ἐμὲ μᾶλλον τὸ ἀργύριον λαβεῖν ἢ τὸν μέτοικον ἄνθρωπον. Δη. 52, 9. Ἀγανακτῶ, εἰ διὰ πόρνην καὶ δούλην ἄνθρωπον περὶ τῶν μεγίστων εἰς κίνδυνον καθέστηκα. Λυ. 4, 19. Προσέρχεταί μοί τις πρεσβῦτις ἄνθρωπος. Λυ. 1, 15. — Ἡ ἀριθμητικὴ διδάσκει ἡμᾶς ὅσα ἐστὶ τὰ τοῦ ἀριθμοῦ καὶ ὁ ἀριθμητικὸς ἄνθρωπος. Πλ. Γο. 453. (Τούτω ἐστὸν παμμάχω, οὐ κατὰ τὼ Ἀκαρνᾶνε τὼ παγκρατιαστὰ ἀδελφώ. Πλ. Εὐθύδ. 271.

A. 2. Ueber (ὁ) Εὐφράτης ποταμός u. ä. § 50, 7, 1—7.

[A. 3. Hieher gehören als Schimpfnamen ὄλεθρος Μακεδών Dem. 9, 31, ὁ. γραμματεύς 18, 127, γέροντες ὄλεθροι Ar. Lys. 325. Vereinzelt finden sich eben so ὀπισθοφύλακες ὁπλῖται, λοχαγοί Xen. An. 4, 1, 6. 7, 8; sogar λοχαγοὶ πελτασταί und γυμνῆτες ταξίαρχοι 4, 1, 26. 28. Dergleichen Substantive (auch die A. 1) waren ursprünglich Adjective und daher findet man auch nicht nur λόχοι φύλακες Xen. An. 6, 3, 9, ὁπλίτης στρατός, κόσμος Eur. Herakl. 699. 800, Plut. Ant. 41, ἱππότης στρατός Her. 4, 136, 1, ὄχλος γυμνής Rhes. 312, wohl auch ὅμιλος στρατιώτης zu Thuk. 6, 24, 3, ναύτης ὅμιλος Eur. Hek. 920, sondern sogar οἰκέτης βίος Eur. Ion 1373, ἀλήτης βίος Her. 3, 52, 2, γέρων ὀφθαλμός Eur. Or. 529, νεανίας πόνος Hel. 209, νεανίαι λόγοι Alk. 679, παρθένος χείρ, ψυχή Phoin. 838, Hipp. 1006, πρυμνήτης κάλως Med. 770, λόγος ἔπαινος Plat. Phaidr. 260, b, λόγος πλεονέκτης Her. 7, 158, 1, δραπέται πόδες Aisch. 3, 152. Doch ist dergleichen in der guten Prosa im Allgemeinen sehr selten.

A. 4. Die Völkernamen stehen oft völlig adjectivisch, regelmäßig bei persönlichen Substantiven. Οἱ Ἕλληνες πελτασταὶ ἔθεον ἐπὶ τοὺς πολεμίους. Ξε. ἀν. 6, 3, 26. vgl. z. Th. 1, 62, 2. Bei Homer findet sich neben λαὸς Ἀχαιῶν auch λαὸς Ἀχαϊκός, Τρωϊκός. [Ueber Ἕλλην als Fe. u. Ἑλλάς als Masc. Pflugk zu Eur. Her. 131 u. Herm. zu Iph. T. 334.]

2. Am gewöhnlichsten ist das Attribut eines Substantivs ein Adjectiv oder Particip, ein Adverbium oder eine Präposition mit ihrem Casus.

A. 1. Vorangestellt wird von beiden Begriffen der betontere, mag der Artikel hinzutreten oder nicht. Vgl. § 50, 8, 1. Πικρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ. Εὐ. Φοῖνιξ 2. Τὰ πονηρὰ κέρδη τὰς μὲν ἡδονὰς ἔχει μικράς, ἔπειτα δ' ὕστερον λύπας μακράς. Ἀντιφά. 266. Οἶδ' ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας σιτουμένους. Αἰσ. Ἀγ. 1668.

A. 2. Ueber attributiv gebrauchte Adverbia, Präpositionen mit ihrem Casus und Sätze § 50, 8, 8—20 vgl. 6 A. 9; über den Ge. § 47, 9, 9 u. § 50, 8, 11; über den Da. § 50, 8, 12; über ὅλος, πᾶς rc. § 50, 11, 7 rc.; über αὐτός, ὅδε rc. eb. A. 15, 19 rc.

A. 3. Ein Epitheton kann mit seinem Substantiv zu einem Gesammtbegriffe verschmolzen und diesem ein anderes Epitheton beigefügt werden. Γέρων ἐραστὴς ἐσχάτη κακὴ τύχη. Μέ. μο. 90. Ἀθάνατόν ἐστι κακὸν ἀναγκαῖον γυνή. Φιλή. 203. — Περὶ ἀνθρώπου ὑφάντου πρεσβύτου λέγει. Πλ. Φαίδ. 87. Τί πρέπει ἀνδρὶ πένητι εὐεργέτῃ; Πλ. ἀπ. 36. — Ἄλλη μία μόνη δουλεία ἑκούσιος λείπεται οὐκ ἐπονείδιστος· αὕτη δέ ἐστιν ἡ περὶ τὴν ἀρετήν. Πλ. συ. 184. Ueber πολλὰ καὶ δεινὰ πράγματα u. ä. § 69, 32, 3.

A. 4. In andern Verbindungen werden mehrere Adjective bloß als Asyndeta an einander gereiht. Οἱ Μοσσύνοικοι ἄλλα δόρατα εἶχον παχέα, μακρά, ὅσα ἀνὴρ ἂν φέροι μόλις. Ξε. ἀν. 5, 4, 25. Vgl. § 59, 1, 1.

(A. 5. Außerdem kann von zwei Adjectiven eins prädicativ stehen, in eben dem Sinne den es bei hinzugefügtem ὤν haben würde. Πένης οὐδὲν εὐγενὴς ἀνήρ. Εὐ. Φοί. 442. Τίς ἄμοχθος εὐκλεής; Εὐ. Ἀρχ. 9. (Οὐδεὶς

ὢν ῥάθυμος εὐκλεὴς ἀνήρ. Εὐ. Ἀρχ. 8. Ῥάθυμος ἂν ᾖς, πλούσιος πένης ἔσῃ. Μέ. μο. 472.

A. 6. Ueber die Verbindung mehrerer Participia ohne καί § 56, 15, 1—6.

II. Prädicative Verbindung.

3. Prädicativ kann ein Substantiv oder Adjectiv, auch ohne eintretendes Prädicatsverbum, an ein Nomen, selbst an ein bloß im Verbum enthaltenes, angefügt werden, wo wir meist als, zu, für hinzusetzen. Vgl. § 55, 4, 4 u. die Reg. zu Kr.s Ausgaben u. Prädicat. *Θεὸς συνεργὸς πάντα ποιεῖ ῥᾳδίως. Μέ. μο.* 237. *Μὴ ὡς θεῷ νομίζετε Φιλίππῳ τὰ παρόντα πεπηγέναι πράγματα ἀθάνατα. Δη.* 4, 8. — *Κλέων ᾑρέθη κατάσκοπος. Θ.* 4, 8. *Ἵπποι ἤγοντο θῦμα τῷ ἡλίῳ. Ξε. Κυ.* 8, 3, 12. — *Τίνος διδάσκαλοι ἥκετε; Πλ. Εὐθύδ.* 287. — *Πολλὰ τάδ' ἐν τῷ μακρῷ γένοιτ' ἂν ἀνθρώπων χρόνῳ. Σο. Φι.* 305. *Ἔφη αὐτὰς (τὰς ναῦς) ἐλάσσους ἢ ὅσας βασιλεὺς ἔταξε ξυλλεγῆναι. Θ.* 8, 87, 5. Vgl. § 50, 10, 1. Ueber die Beziehung des Prädicats auf die Zukunft z. Th. 4, 2, 2. 116, 2.

A. 1. Ein solches Prädicat erscheint auch als obliquer Casus; wenn es ein Substantiv ist, am häufigsten als Accusativ: obliques Prädicat. Δίκαιος ἂν ᾖς, τῷ τρόπῳ χρήσει νόμῳ. Μέ. 135. Δίκαια δράσας συμμάχου τεύξει θεοῦ [συμμάχῳ χρήσει θεῷ]. Kr. Stud. 2 S. 76. Δίκαια δράσας συμμάχους ἕξεις θεούς. Μέ. μο. 126. Πένητας οὐδεὶς βούλεται κτᾶσθαι φίλους. Εὐ. Ἠλ. 1131. Ὅσον νόσημα τὴν Κύπριν κεκτήμεθα. Εὐ. Ἰνώ 10. Ὅστις λόγους παρακαταθήκην λαβὼν ἐξεῖπεν ἄδικός ἐστιν ἢ ἀκρατὴς ἄγαν. Ἀναξανδρ. 55. — Τὰ δάνεια δούλους τοὺς ἐλευθέρους ποιεῖ. Μέ. μο. 514. Πειρῶ τὸν πλοῦτον χρήματα καὶ κτήματα κατασκευάζειν. Ἰσ. 1, 28. Πῶς οὐκ ἄτοπον τοὺς προεστῶτας τῶν Ἑλλήνων ἕνα ἄνδρα τοσούτων ἀνθρώπων καθιστάναι δεσπότην; Ἰσ. 4, 127. Στρατευόμεθ' αἱρούμενοι καθάρματα στρατηγούς. Εὔπολις 103, 8. Οἱ διδάσκαλοι τοὺς μαθητὰς μιμητὰς ἑαυτῶν ἀποδεικνύουσιν. Ξε. ἀπ. 1, 6, 3. — Ἔφασκεν ὄνειδος ἐξελθεῖν ταύτην τὴν στρατιὰν τῇ πόλει. Δη. 21, 132. Ἔφη τὸν Σόλωνα ἀνακεῖσθαι τῆς τῶν τότε δημηγορούντων σωφροσύνης παράδειγμα. Δη. 19, 251.

A. 2. Wenn ὡς hinzutritt, wie öfter bei χρῆσθαι, so ist es vergleichend: pro, so wie, nicht anders als. [z. Th. 1, 53, 2.] Ἐπίστανται οἱ κρείττονες τοὺς ἥττονας καὶ κοινῇ καὶ ἰδίᾳ κλαίοντας καθίσαντες (ὡς) δούλοις χρῆσθαι. Ξε. ἀπ. 2, 1, 12. Ἔξεστι τῷ βουλομένῳ χρῆσθαι ἤδη τούτῳ ὡς ἀνδραπόδῳ. Ξε. Κυ. 4, 2, 25. Ἀλκιδάμας οὐχ ἡδύσματι χρῆται ἀλλ' ὡς ἐδέσματι τοῖς ἐπιθέτοις. Ἀρλ. ῥητ. 3, 3. [So auch ὥσπερ Xen. Oik. 14, 9.]

A. 3. Das oblique Prädicat kann auch ein Adjectiv oder Particip sein. Vgl. über die Stellung beim Artikel § 50, 11, 1. Hieher gehört auch ἱστάναι τινὰ χαλκοῦν u. ä. Jemandem eine eherne Bildsäule errichten. Δύστηνος ὅστις καὶ τὰ καλὰ ψευδῆ λέγων οὐ τοῖσδε χρῆται τοῖς καλοῖς ἀληθέσιν. Εὐ. ἀποσ. ἄδ. 14. Ἐνόμιζεν ὅσῳ ἂν θᾶττον ἔλθοι, τοσούτῳ ἀπαρασκευαστοτέρῳ βασιλεῖ μαχεῖσθαι. Ξε. ἀν. 1, 5, 9. — Τῆς τύχης εὐδαίμονος τύχοιτε. Εὐ. Ἑλ. 698. [vgl. Th. 2, 62, 3.] Ὅταν ἀκούω ἀνδρὸς περὶ ἀρετῆς διαλεγομένου, χαίρω ὑπερφυῶς. Πλ. Λάχ. 188. — Τὰς πρὶν φρένας οὐκ εἶχες ὑγιεῖς. Εὐ. Βάκ. 947. Οὔ τοι τὰ χρήματ' ἴδια κέκτηνται βροτοί. Εὐ. Φοι. 555. Τὰς ἐντεύξεις μὴ ποιοῦ πυκνὰς τοῖς αὐτοῖς. Ἰσ. 1, 20. [vgl. zu Xen. An. 1, 10, 2.] Τὰς ὁμιλίας ἐσθλὰς διώκειν ὦ νέοι σπουδάζετε. Εὐ. Πελ. 10. Τἀληθὲς ἰσχῦον τρέφω. Σο. ΟΤ. 356. Τὸν τῇ φύσει οἰκεῖον οὐδεὶς καιρὸς ἀλλότριον ποιεῖ. Γν. Στ. 83, 2. Τοὺς στρατηγοὺς ὀλίγους χρὴ ἑλέσθαι. Θ. 6, 72, 4. Ὁ Ἅιδης τοὺς νόμους ἴσους ποθεῖ. Σο.

ʼΑντ. 519. Ἔξεστι τοῖς ἐφόροις ἀκρίτους ἀποκτεῖναι τοσούτους ὁπόσους ἂν βουληθῶσιν. ʼΙσ. 12, 181. — Φίλιππον θαυμάζουσι καὶ χαλκοῦν ἱστᾶσιν. Δη. 19, 261. (Σφυρήλατος ἐν ʼΟλυμπίᾳ στάθητι. Πλ. Φαῖδ. 236.)

A. 4. Das oblique Prädicat erscheint auch in Verbindung mit Präpositionen. Τὸ ὑπὸ τῶν ὁμοίων ἑκόντων θαυμάζεσθαι τοῦ παρὰ τοῦ δεσπότου λαμβάνειν ὁτιοῦν κρεῖττον εἶναι δοκεῖ. Δη. 20, 16. Διεχειμάσατε ἐν ἀφθόνοις τοῖς ἐπιτηδείοις. Ξε. ἀν. 7, 6, 31. Νόμους ἔθεσθε ἐπ' ἀδήλοις μὲν τοῖς ἀδικήσουσι, ἀδήλοις δὲ τοῖς ἀδικησομένοις. Δη. 21, 30.

A. 5. Als Prädicat, gew. als obliques, erscheinen auch demonstrative, relative und interrogative Pronomina. Σὺ οὗτος εὑρέθης. Δη. 18, 282. vgl. § 51, 7, 9. — [Ueber τοιοῦτος u. τοσοῦτος z. Th. 2, 78, 3. 4, 77, 1.] Πάσχουσι τοῦτο ταὐτὸν ταῖς τικτούσαις. Πλ. Θε. 151. Τὰς ἐλπίδας ἔχω τοιαύτας. ʼΙσ. 6, 69. Τοὺς περὶ πραγμάτων ἀνομοίων τοῖς ἄλλοις ἀγωνιζομένους ἀναγκαῖόν ἐστι καὶ τοῖς λόγοις τοιούτοις χρῆσθαι. ʼΙσ. 15, 179. [vgl. z. Th. 6, 43, 1.] Θησεὺς καὶ Ἡρακλῆς οὐ μόνον τοῖς ὅπλοις ἐκοσμήσαντο παραπλησίοις ἀλλὰ καὶ τοῖς ἐπιτηδεύμασιν ἐχρήσαντο τοῖς αὐτοῖς. ʼΙσ. 10, 23. — Παράδειγμα ποιήσατε τοῖς βουλομένοις τὴν πόλιν εὖ ποιεῖν οἵων ὑμῶν ἐν τοῖς κινδύνοις τεύξονται. Λυ. 18, 23. [vgl. Xe. An. 5, 5, 15.] Οὐκ ᾔδει οἵοις θηρίοις ἐπλησίαζε τοῖς ἀνθρώποις τούτοις. Δη. 35, 8. (ʼΕπίστασθε περὶ οἵου τινὸς ὄντος ἐμοῦ ψηφιεῖσθε. Λυ. 21, 1.) Οὐδὲν ἐδήλουν ὁποῖόν τι τὸ μέλλον ποιήσουσιν. Θ. 7, 38, 2. Ὦ φίλταθ' ὅσ' ἡμῖν τἀγαθὰ δέδρακας εἰρήνην ποιήσας. ʼΑρ. εἰρ. 1198. [Da. Th. 8, 27, 2.] — Τί ἔχοντες δίκαιον ἢ τί τὸ ἰσχυρὸν ἀντιδικήσομεν; Δη. 56, 15. — Ποῖ λέγεις καὶ παρὰ τίνας τοὺς ὑμᾶς; Πλ. Λυ. 203. Ueber den Artikel § 50, 11, 1.

A. 6. Wenn ein interrogatives Pronomen einem demonstrativen als Prädicat angefügt ist, so müssen wir (wie auch bei manchen der A. 5 angeführten Stellen) den einen Satz oft durch zwei übersetzen: τίς οὗτος ἔρχεται: wer ist dieser der da ankommt? τί τοῦτο λέγεις; was ist dies was du sagst? oder was willst du damit sagen? Τίς οὗτος σῶμα τοὐμὸν οὐκ ἐᾷς κεῖσθαι; Εὐ. Ἑκ. 501. Τί τοῦτο εἰρῆσθαι φῶμεν; Πλ. νό. 968. — Τί τοῦτ' ἔλεξας; Εὐ. Βάκ. 1033. Τί ἀδικοῦμεν τουτό σε; ʼΑρ. πλ. 460. Τίνας τούσδ' εἰςορῶ; Εὐ. ʼΟρ. 1347. — Ποῖα ταῦτα λέγεις; Πλ. Κρατ. 391.

A. 7. Zu einem demonstrativen Pronomen, wie ὅδε, οὗτος, kann auch ein Substantiv oder Adjectiv als Prädicat hinzutreten. Vgl. A. 1. Οἵαν ἔχιδναν τήνδ' ἔφυσας. Εὐ. Ἴων 1262. ʼΕρώτημα τοῦτ' ἐρωτᾷς ἢ λόγου τινὸς ἀρχὴν λέγεις; Πλ. Γο. 466. Οἱ ῥήτορες οἱ ποιοῦντες ἐν ταῖς πόλεσιν ἃ δοκεῖ αὐτοῖς καὶ οἱ τύραννοι οὐδὲν ἀγαθὸν τοῦτο κεκτήσονται. Πλ. Γο. 467. Οὐχ ἁπλοῦν ἔτι τοῦτο ἐρωτᾷς; Πλ. Γο. 503. Τοῦτο παντελῶς εὐηθες ᾠήθης. Δη. 18, 11. (Ueber das Prädicat bei Interrogativen und Relativen § 50, 11, 1. vgl. z. Her. 2, 102, 2.)

4. Als Prädicat kann so auch ein Nomen angefügt werden das erst in Folge der Handlung des Verbums als Prädicat eintritt: proleptisches Prädicat.

A. 1. Nur in einigen Verbindungen ist das proleptische Prädicat ein Substantiv, wie bei uns in der gemeinen Sprache: er lernt Kaufmann. Ἔλαχον βασιλεύς, ὥσπερ προεκρίθην. Δη. 57, 47. Περικλῆς τοὺς υἱεῖς ἱππέας ἐδίδαξεν οὐδενὸς χείρους ʼΑθηναίων. Πλ. Μέν. 94. [Σωκράτης παῖς ἐμάνθανε λιθοξόος τὴν τοῦ πατρὸς τέχνην. Dion Chrys. 55 p. 283 R.]

A. 2. Von Adjectiven erscheinen als proleptische Prädicate häufig μετέωρος (sublimis), μέγας, ὑψηλός, μακρός u. ä. bei αὔξειν, αἴρειν u. ä. Verben. Ἄλλως αὐτὸν αἰχμάλωτον εἵλομεν. Εὐ. Ἡρ. 962. — Ἄρας μετέωρον ἐς τὸ βάραθρον ἐμβαλῶ. ʼΑρ. ἱππ. 1362. ʼΑὴρ ἔχει τὴν γῆν μετέωρον. ʼΑρ. νε. 264. Ὁ δεσπότης μου μετέωρος αἴρεται. ʼΑρ. εἰρ. 80. — Ἕνα τινὰ ἀεὶ ὁ δῆμος εἴωθε διαφερόντως προΐστασθαι ἑαυτοῦ καὶ τοῦ-

τον τρέφειν τε καὶ αὔξειν μέγαν. Πλ. πολ. 565. Μέγας ἐκ μικροῦ ὁ Φίλιππος ηὔξηται. Δη. 9, 21. Ὑψηλὸν ἐξαίρει αὐτόν. Πλ. πολ. 494. Ἤιρετο τὸ ὕψος τοῦ τείχους μέγα. Θ. 2, 75, 4. Τοὺς λόγους μακροτέρους οὐ παρὰ τὸ εἰωθὸς μηκυνοῦμεν. Θ. 4, 17, 2. — Πενία διδάσκει ἄνδρα τῇ χρείᾳ κακόν. Εὐ. Ἠλ. 376. Μουσικὸν Ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν. Εὐ. Σθεν. 3. — Δεῖ τὰ ἐπίθετα καὶ τὰς μεταφορὰς ἁρμοττούσας λέγειν. Ἀρλ. ῥητ. 3, 2.

(A. 3. Auch eine bevorstehende Bestimmung kann das proleptische Prädicat ausdrücken. Τὰς βαλάνους τραγήματα ἀπετίθεσαν. Ξε. ἀν. 2, 3, 15. Νῆες ἑξήκοντα παρεπεπλεύκεσαν τοῖς ἐν τῷ ὄρει τιμωροί. Θ. 4, 2. vgl. § 57, 3 E.

5. Ein Prädicat wird oft von einem andern, am häufigsten einem Verbum, d. h. eig. dem Particip angefügt: adverbartiges Prädicat. Gewöhnlich erscheinen so nur Adjective.

A. 1. So finden sich z. B. μέγας und πολύς bei ῥέω und πνέω sowohl in eigentlicher als in uneigentlicher Bedeutung. [Ζεὺς χρυσὸς ῥυεὶς Δανάῃ συνεγένετο. Ἰσ. 59, 10.] Ὁ Ἀσωπὸς ποταμὸς ἐρρύη μέγας. Θ. 2, 5, 2. Δη. 59. 99. [z. Arr. 6, 25, 5 lat. A.] Ὁ ἄνεμος ἐκπνεῖ μέγας. Θ. 6, 104, 3. — Ἔστι κρήνη ἡδέος ὕδατος καὶ ἄφθονος ῥέουσα. Ξε. ἀν. 6, 2, 4. Κύπρις οὐ φορητόν, ἢν πολλὴ ῥυῇ. Εὐ. Ἱπ. 442. Τῷ Πύθωνι θρασυνομένῳ καὶ πολλῷ ῥέοντι καθ' ὑμῶν οὐκ εἶξα. Δη. 18, 136. Ὁ ὄχλος πλείων καὶ πλείων ἐπέρρει. Ξε. Κυ. 7, 5, 39. Πολὺς τοῖς συμβεβηκόσιν ἔγκειται. Δη. 18, 199. [z. Th. 4, 22, 2.]

A. 2. Aehnlich gebrauchte man ἄσμενος, ἑκών, ἑκούσιος, ἐθελούσιος u. a.; ja selbst Participia, wie ἐθέλων z. B. οἱ ἐθέλοντες εἰς κινδύνους καθιστάμενοι (Ἀνδ.), diese aber nicht bei Substantiven, also z. B. nur ἐθελονταὶ φίλοι. [z. Xe. An. 1, 6, 9.] Ueber die Stellung beim Artikel § 50, 12, 1 u. 4. [Ἥσυχος Xen. An. 6, 3, 11 u. Kyr. 5, 3, 55 bedarf für die Prosa noch zureichenderer Begründung; dichterische Stellen bei Elmsley zu Eur. Her. 7. Ἄρχειν ἄσμενος αἱρεθεὶς παραινεῖ ὑμῖν ἐκπλεῖν. Θ. 6, 12, 2. Ἀσμένοις ἐγίγνετο τοῖς σώφροσι τῶν ἀνθρώπων. Θ. 4, 28, 4. Κακὸς ἑκὼν οὐδείς. Πλ. Τί. 86. Ὁ κακὸς ἄκων τοιοῦτος. Πλ. νό. 860. Ἄκων ἁμαρτὼν οὐδεὶς ἀνθρώπων κακός. Σο. Τυρώ 582. Τὰς πόλεις ἑκούσας παρέλαβεν. Ξε. Ἑλ. 3, 1, 16. Σκέψασθε εἰ τοῖς τε ἀναγκασθεῖσιν ὑπὸ τῶν πολεμίων καὶ τοῖς ἑκοῦσιν ἀποστᾶσιν τὰς αὐτὰς ζημίας προςθήσετε. Θ. 3, 39, 6. — Λέγουσί τινες ἑκούσιον φαρμάκῳ ἀποθανεῖν Θεμιστοκλέα. Θ. 1, 138, 5. Ὁ Νικίας ἀκούσιος ᾑρημένος ἄρχειν ἀποτρέψαι ἐβούλετο. Θ. 6, 8, 3. — Τὸ μὴ φεύγειν τοὺς πόνους, ἀλλὰ ἐθελοντὴν ὑπομένειν τῷ ἄρχειν παιδευομένῳ ἂν προςθείημεν. Ξε. ἀπ. 2, 1, 3. Προθύμως ἐξωρμῶντο, ἅτε οὐκ ἀνάγκῃ, ἀλλ' ἐθελούσιοι καὶ χάριτος ἕνεκα ἐξιόντες. Ξε. Κυ. 4, 2, 11. Τοὺς ἐμοὶ ἐθελουσίους τούτους ἐπισπομένους ἀμέμπτους πάντας ποιεῖτε. Ξε. Κυ. 4, 5, 52. — Οἱ φιλόσοφοι αὐτόματοι ἐμφύονται. Πλ. πολ. 520. Ἥκει φερόμεν' αὐτόματα πάντα τἀγαθά. Δίφ. 14. Ὁ ἐλεύθερος ἐπαινῶν καὶ μὴ μάλιστά ἐστι καταφανής. Πλ. νό. 688. — Ἐθέλων ἕπεται. Ξε. Κυ. 4, 1, 21. Ἡ γῆ θέλουσα τοὺς δυναμένους καταμανθάνειν καὶ δικαιοσύνην διδάσκει. Ξε. οἰκ. 5, 12. Τῷ σφενδονᾶν ἐντεταγμένῳ ἐθέλοντι ἄλλην τινὰ ἀτέλειαν εὑρίσκωμεν. Ξε. ἀν. 3, 3, 18. — (Χρῆν Μυτιληναίους μηδὲν διαφέροντας τῶν ἄλλων ὑφ' ὑμῶν τετιμῆσθαι. Θ. 3, 39, 5. u. dort Kr. Οἴεται τραγῳδίαν εἶναι τὴν τούτων σύστασιν, πρέπουσαν ἀλλήλοις τε καὶ τῷ ὅλῳ συνισταμένην. Πλ. Φαῖδ. 268.)

A. 3. Ordinale Adjective, wie πρότερος (und δεύτερος), πρῶτος, ὕστερος, ὕστατος, τελευταῖος bezeichnen, prädicativ angefügt, die Ordnung in der dieselbe Handlung unter mehrern Begriffen dem genannten zukommt, während die entsprechenden Adverbia, πρότερον, πρῶτον, ὕστερον (vgl. § 46, 3, 2) die Ordnung bestimmen in der unter mehrern Handlungen desselben

Subjects die erwähnte erfolgt ist: πρῶτος Μηθύμνῃ προςέβαλε er war der erste der M. angriff; πρώτῃ Μηθύμνῃ προςέβαλε M. war der erste Ort den er angriff; πρῶτον Μηθύμνῃ προςέβαλε seine (oder überhaupt die) erste Handlung war der Angriff auf M. [z. Th. 3, 101, 1.] Ueber die Stellung bei hinzutretendem Artikel § 50, 11, 1 u. 12, 1 u. 4; über πρῶτον und τὸ πρῶτον § 46, 3, 2. Aehnlich unterscheide man μόνος und μόνον, wiewohl zuweilen μόνον erscheint wo man μόνος erwarten möchte. Σπονδὰς λύουσιν οὐχ οἱ ἀμυνόμενοι, ἀλλ' οἱ πρότεροι ἐπιόντες. Θ. 1, 123, 3. Ἐξῆν αὐτοῖς προτέροις διαβᾶσι τῶν ἐθνῶν ἕκαστον χειροῦσθαι. Ἰσ. 4, 164. Καλόν ἐστιν ἐν ταῖς τῶν ἄλλων ἀδικίαις καὶ μανίαις πρώτους εὖ φρονήσαντας προστῆναι τῆς τῶν Ἑλλήνων ἐλευθερίας. Ἰσ. 8, 141. Λακεδαιμόνιοι ὕστεροι ἀφίκοντο τῆς ἐν Μαραθῶνι μάχης γενομένης μιᾷ ἡμέρᾳ. Πλ. νό. 698. Τοὺς αὐτῶν νόμους ἀρέσκειν ἑκάστοις ἀναγκαῖόν που, τοὺς δὲ τῶν ἄλλων ὑστέρους. Πλ. νό. 681. Χαλεπόν ἐστιν ὕστατον ἐπελθόντα λέγειν. Ἰσ. 4, 74. Οὐ τοὺς αἰτίους ἀλλὰ τοὺς ὑστάτους περὶ τῶν πραγμάτων εἰπόντας ἐν ὀργῇ ποιεῖσθε. Δη. 1, 16. Ὡς ἐπὶ τὸ πολὺ οἱ τελευταῖοι κρινόμενοι σώζονται. Λυ. 19, 6. Κακὸς κακῶς ἀπόλοιτο ὃς γυναῖκα δεύτερος ἔγημε· τὸν γὰρ πρῶτον οὐκ ἐρῶ κακῶς. Εὔβουλος 115. — Ἡ ἐγκράτεια μόνη ποιοῦσα καρτερεῖν μόνη καὶ ἥδεσθαι ποιεῖ. Ξε. ἀπ. 4, 5, 9. Τῶν ὄντων ᾧ νοῦν μόνῳ κτᾶσθαι προςήκει λεκτέον ψυχήν. Πλ. Τί. 46. Μὴ θανών ποτε σοῦ χωρὶς εἴην τῆς μόνης πιστῆς ἐμοί. Εὐ. Ἀλκ. 368. Οἱ τύραννοι Ἀθηναίους εἰκοστὴν μόνον πρασσόμενοι τὴν πόλιν αὐτῶν καλῶς διεκόσμησαν. Θ. 6, 54, 5. Περιέμενον Παναθήναια τὰ μεγάλα, ἐν ᾗ μόνον ἡμέρᾳ οὐχ ὕποπτον ἐγίγνετο ἐν ὅπλοις ἀθρόους γενέσθαι. Θ. 6, 56, 1. Ἔργοισι χρηστός, οὐ λόγοις ἔφυν μόνον. Ἀντιφάνης 194, 13. Τούς γε φιλοσόφους ἐν τοῖς λόγοις φρονοῦντας εὑρίσκω μόνον. Ἀνάξιππος 4, 2.

A. 4. Aehnlich werden besonders mit Verben der Bewegung temporale Adjective verbunden, wie ὄρθριος, σκοταῖος oder σκοτιαῖος, δευτεραῖος, τριταῖος ꝛc. ἀφίκετο er kam in der Frühe, am zweiten, dritten ꝛc. Tage an. Vgl. § 24, 3, 7. Eben so finden sich αἰφνίδιος [z. Th. 6, 49, 2], χρόνιος [zu 1, 12, 1] u. a., einzeln auch locale Adjective, wie πελάγιος [z. Th. 8, 39, 3]; deßgleichen ὑπόσπονδος. Ἑσπέρας ἀκούσας ὄρθριος ἥκεις. Πλ. Πρω. 313. Κατέβαινον εἰς τὰς κώμας ἤδη σκοταῖοι. Ξε. ἀν. 4, 1, 10. Δευτεραῖοι ἀμφὶ δείλην γίγνονται πρὸς τῷ Γωβρύου χωρίῳ. Ξε. Κυ. 5, 2, 2. (Ἆγις ἑβδομαῖος ἀφ' οὗ ἔκαμεν ἐτελεύτησεν. Ξε. Ἑλ. 5, 3, 19. Ἀπὸ ταύτης τῆς ἡμέρας πεμπταῖα λογίζομαι τὰ παρ' ὑμῶν ἐν τοῖς Φωκεῦσι γενέσθαι. Δη. 19, 59.) Ποσταῖος ἂν τῷ στρατεύματι ἐκεῖσε ἀφικοίμην; Ξε. Κυ. 5, 3, 28. — Σχολαῖοι ἐκομίσθησαν. Θ. 3, 29, 1. Ἀφικνοῦνται αἰφνίδιοι. Θ. 8, 14, 1. Χρόνιοι ξυνιόντες τὰ οἰκεῖα πράσσουσιν. Θ. 1, 141, 6. [zu 1, 12, 1.] — Ὑπαίθριος ἐταλαιπώρει. Θ. 1, 134, 2. — Ἱππίας ἐχώρει ὑπόσπονδος εἰς Σίγειον. Θ. 6, 59, 5. Τοὺς ἄνδρας διεκόμισαν (ἀπέδοσαν) ὑποσπόνδους. Θ. 4, 46, 2. [z. 1, 63, 3. 6, 88, 10.]

III. Appositive Verbindung.

6. Appositiv verbinden sich Begriffe auf mehrere, z. Th. sehr verschiedene Arten, am innigsten durch synthetische Apposition, bei der zwei Begriffe, z. B. ein Eigenname mit dem Gattungsbegriffe desselben, verbunden gleichsam ein Compositum bilden. So namentlich in Verbindung mit dem Artikel. S. § 50, 1—6. *Προςῆλθον ἡμῖν πέρυσι τοῦ μεταγειτνιῶνος μηνός. Δη.* 56, 5. vgl. § 50, 7, 1, 2.

7. Weniger innig ist die epithetische Apposition, die der attributiven Verbindung (§ 50, 8, 1) entspricht, auch mit Bezug auf Gebrauch und Stellung des Artikels mit ihr übereinstimmend (§ 50, 7, 4 u. 8—12), und besonders rücksichtlich der Eigennamen zu merken ist.

A. Mehr scheiden sich die Begriffe wenn sie beide ihren Artikel haben, besonders wenn die (dann betontere) Apposition vorangeht. Ἡ Φυλομάχη ἡ μήτηρ ἡ Εὐβουλίδου καὶ ὁ Πολέμων ὁ πατὴρ ὁ Ἁγνίου ἀδελφοὶ ἦσαν. Δη. 43, 26. Ὁ ἀδελφὸς ὁ Ἀρεθούσιος οὐδένα εἴα ὠνεῖσθαι. Δη. 53, 10. — Τὸν μιαρὸν καὶ ἀναιδῆ φυλάξομεν ἀμφότεροι τὸν Φιλοκράτη. Δη. 19, 13. Τὴν πεντετηρίδα τότε πρῶτον ἐποίησαν οἱ Ἀθηναῖοι τὰ Δήλια. Θ. 3, 104, 2. vgl. 9 A. 1.

8. An die epithetische schließt sich die partitive Apposition an. vgl. § 47, 28, 3.

A. Genauer sind hier zwei Arten zu unterscheiden: die distributive, durch die dem Ganzen seine Theilbegriffe gegensätzlich angeschlossen werden; und die adjunctive, durch die dem Ganzen nur ein, meist numerischer Begriff angefügt wird. Als solcher kann auch ein collectiver Singular sich mit einem Plural verbinden, und dabei selbst, in sofern die Apposition näher steht und übergewichtlich ist, das Verbum im Singular stehen. Vgl. § 47, 28, 3 und 63, 1, 3. Λῦπαι αἱ μὲν χρησταί εἰσιν, αἱ δὲ κακαί. Πλ. Γο. 499. — Ἡγοῦμαι τοὺς μὲν χρηστοὺς καὶ πονηροὺς σφόδρα ὀλίγους εἶναι ἑκατέρους, τοὺς δὲ μεταξὺ πλείστους. Πλ. Φαίδ. 89. Οἱ ἐκπίπτοντες παρ' Ἀθηναίους οἱ δυνατώτατοι ἀνεχώρουν. Θ. 1, 2, 3. [Kr. z. Dion. p. 305.] — Πᾶσι τοῖς εὐνομουμένοις ἔργον τι ἑκάστῳ ἐν τῇ πόλει προςτέτακται. Πλ. πολ. 406. — Αἱ τέχναι τὸ αὑτῆς ἑκάστη ἔργον ἐργάζεται καὶ ὠφελεῖ ἐκεῖνο ἐφ' ᾧ τέτακται. Πλ. πολ. 346. Οὗτοι ἄλλος ἄλλα λέγει. Ξε. ἀν. 2, 1, 15. — Οἱ ἱππεῖς ἔρημοι οἴχονταί μοι ἄλλος ἀλλαχῇ διώκων. Ξε. ἀν. 7, 3, 47. Ueber ἔνιοι z. Her. 7, 187, 1; über das Particip § 56, 9, 1 u. 2.

9. Die selbständigste ist die parathetische Apposition, die, besonders wenn sie ohne Artikel eintritt, einem relativen Nebensatze (ὅς — ἐστίν) gleich gilt. *Πολλοὺς ὁ θυμὸς ὁ μέγας ὤλεσεν βροτῶν ἤ τ' ἀξυνεσία, δύο κακὼ τῷ χρωμένῳ. Εὐ. Ἀρχ.* 36. *Τὸ σῶμα δεινὰ καὶ ἀναγκαῖα ἐν ἑαυτῷ παθήματα ἔχει, πρῶτον μὲν ἡδονήν, μέγιστον κακοῦ δέλεαρ, ἔπειτα λύπας, ἀγαθῶν φυγάς, ἔτι δ' αὖ θάῤῥος καὶ φόβον, ἄφρονε ξυμβούλω. Πλ. Τί.* 69. *Κόλακι, δεινῷ θηρίῳ καὶ μεγίστῃ βλάβῃ, ὅμως ἐπέμιξεν ἡ φύσις ἡδονήν τινα οὐκ ἄμουσον. Πλ. Φαῖ.* 240. — *Ἡ ἡμετέρα πόλις, ἡ κοινὴ καταφυγὴ τῶν Ἑλλήνων, νῦν οὐκέτι περὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἀγωνίζεται. Αἰ.* 3, 134. *Τὰ ξύλα καὶ τοὺς λίθους καὶ τὸν σίδηρον, τὰ ἄφωνα καὶ ἀγνώμονα, ἐάν τῳ ἐμπεσόντα ἀποκτείνῃ, ὑπερορίζομεν. Αἰ.* 3, 244. Vgl. § 50, 7, 12.

A. 1. Es ist nicht nöthig, daß die Apposition ihrem Nomen unmittelbar folge oder unmittelbar vorangehe. vgl. 10, 7 A. u. zu Xe. An. 1, 6, 11 lat. A. Οὐκ ἔστι πενίας ἱερόν, αἰσχίστης θεοῦ. Εὐ. Ἀρχ. 19. Ἀλήθεια παρέστω σοὶ καὶ ἐμοί, πάντων χρῆμα δικαιότατον. Στ. 11, 1. Οὐκ αἰσχρὸν οἰκείους οἰκείων ἡσσᾶσθαι, ἢ Δωριέα τινὰ Δωριέως ἢ Χαλκιδέα τῶν ξυγγενῶν. Θ. 4, 64, 2. Σιγᾶν καὶ σωφρονεῖν αὖ φησι χρῆναι, δύο κακὼ μεγίστω. Ἀρ. σφ. 1060.

A. 2. Wenn eine Präposition hinzutritt, so pflegt sie bei dieser Apposition nicht wiederholt zu stehen. Χωρῶμεν ἤδη παῖδες ἐς τὰ τῶν σοφῶν διδασκαλεῖα, μουσικῆς παιδεύματα. Σο. ἀποσπ. 779. Περὶ χρημάτων λαλεῖς, ἀβεβαίου πράγματος. Μέ. 130. Ἐκ λόγων, κούφου πράγματος, ἔργῳ μίση καὶ ἔχθραι βαρύταται γίγνονται. Πλ. νό. 935. (Ἐν τῷ Ἀρείῳ πάγῳ, ἐν τῷ σεμνοτάτῳ καὶ δικαιοτάτῳ δικαστηρίῳ, ὁμολογῶν ἀδικεῖν ἀποθνήσκει. Λυ. 6, 14.)

A. 3. Fast epithetisch ist die parathetische Apposition, wenn sie, übergewichtlich betont, ihrem Begriffe vorangeht; ein Verhältniß bei dem z. Th. auch

ein Uebergang zu dem N. 10 erwähnten eintritt. Ἃ ἄν τις ἑκὼν ἑκόντι ὁμολογήσῃ φασὶν οἱ πόλεως βασιλῆς νόμοι δίκαια εἶναι. Πλ. συ. 196. Ὦ Ζεῦ τί δὴ κίβδηλον ἀνθρώποις κακόν, γυναῖκας ἐς φῶς ἡλίου κατῴκισας; Εὐ. Ἱπ. 616. — Ὁ κοινὸς ἰατρός σε θεραπεύσει, χρόνος. Φιλιππίδης 31. Τὸ κουφότατόν σε τῶν κακῶν πάντων δάκνει, πενία. Μέ. 275.

10. Epexegetisch ist die Apposition, wenn sie einem allgemeinern Begriffe den bestimmteren zufügt: nämlich. Statt ihrem Begriffe wird sie zuweilen einem auf denselben bezogenen Relativ angefügt. *Εἰσὶν ἡδοναὶ πολλαὶ βίου, μακραί τε λέσχαι καὶ σχολή, τερπνὸν κακόν, αἰδώς τε. Εὐ. Ἱπ.* 383. *Ὁ θάνατος τυγχάνει ὢν δυοῖν πραγμάτοιν διάλυσις, τῆς ψυχῆς καὶ τοῦ σώματος, ἀπ' ἀλλήλοιν. Πλ. Γο.* 524. (*Ἄν τις ἀνδρὸς σῶμα τρώσῃ, κεφαλὴν ἢ πρόσωπον ἢ χεῖρας ἢ πόδας, κατὰ τοὺς νόμους φεύξεται τὴν τοῦ ἀδικηθέντος πόλιν. Λυ.* 6, 15.) — *Ὡς θαυμασίως πέφυκε τὸ ἡδὺ πρὸς τὸ δοκοῦν ἐναντίως ἔχειν, τὸ λυπηρόν. Πλ. Φαῖδ.* 60. *Τὸ δίκην διδόναι μεγίστου κακοῦ ἀπαλλαγὴ ἦν, πονηρίας. Πλ. Γο.* 478. — *Ὀρθὴ ἡ παροιμία, τὸ τὰς ἁπάσας μὴ ῥάδιον εἶναι διαφυγεῖν. Πλ. σο.* 231. *Φήμη πλανᾶται καὶ διέγνωσται πάλαι τὸ μὴ βεβαίους τὰς βροτῶν εἶναι τύχας. Στ.* 105, 25. — *Οὐδείς ἐστ' ἀτελής, οὐδ' οὓς οὗτος ἔγραψε, τοὺς ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος. Δη.* 20, 18. Vgl. Elmsley zu Eur. Her. 601 und Pflugk zur Hek. 771.

A. 1. Eine solche Apposition haben auch mit Adjectiven, besonders mit pronominalen, verbundene Substantive. Ἕν ἐστ' ἀληθὲς φίλτρον, εὐγνώμων τρόπος. Μέ. 619. Ἓν ἀπέχθημα πάγκοινον βροτοῖς, οἱ περὶ τυράννους καὶ πόλεις ὑπηρέται. Εὐ. Τρῳ. 425. Κοινὸν ἀγαθὸν τοῦτ' ἔστι, χρηστὸς εὐτυχῶν. Μέ. μον. 681. Οὗτος ὁ τρόπος ἦν τῆς τῶν παλαιῶν φιλοσοφίας βραχυλογία τις Λακωνική. Πλ. Πρω. 343. Τὸ μελέτημα αὐτὸ τοῦτό ἐστι τῶν φιλοσόφων, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος. Πλ. Φαίδ. 67. — Τοῦτο πῶς οὐκ ἀμαθία ἐστιν αὕτη ἡ ἐπονείδιστος, ἡ τοῦ οἴεσθαι εἰδέναι ἃ οὐκ οἶδεν; Πλ. ἀπ. 29. Πολλοῦ μισθοῦνται ἀλλοτρίαν φωνήν, τὴν τῶν αὐλῶν. Πλ. Πρω. 347. Ζεὺς δὴ μέγιστον τοῦτ' ἐποίησεν κακόν, γυναῖκας. Σιμ. Ἀμ. 7, 96. Μάλα φιλοσόφου τοῦτο τὸ πάθος, τὸ θαυμάζειν. Πλ. Θε. 155. (Ἔνεστί πως τοῦτο τῇ τυραννίδι νόσημα, τοῖς φίλοισι μὴ πεποιθέναι. Αἰσ. Προ. 224.) Μένει ἥδε ἡ οἴησις, τὸ ψυχὴν ἁρμονίαν τινὰ τῶν κατὰ τὸ σῶμα ἐντεταμένων ξυγκεῖσθαι. Πλ. Πρω. 224. (Τὸ τῆς πόλεως ἦθος ἴδοι τις ἂν τοιοῦτον [,] ἀψευδὲς καὶ χρηστόν, οὐ τὸ λυσιτελέστατον πρὸς ἀργύριον σκοποῦν. Δη. 20, 13.

A. 2. Eben diese Apposition kann auch bei substantivirten Adjectiven, besonders pronominalen, eintreten. Vgl. § 50, 11, 21. Ποτέρῳ εἰκός ἐστι πιστεῦσαι, τῷ διὰ τέλους τὸν αὐτὸν λόγον ἀεὶ λέγοντι ἢ τῷ τοτὲ μὲν φάσκοντι, τοτὲ δ' οὔ; Ἀντ. 5, 50. Περικλῆς δυοῖν ἐγένετο μαθητής, Ἀναξαγόρου τε καὶ Δάμωνος. Ἰσ. 15, 235. — Τούτῳ διαφέρει ἀνὴρ τῶν ἄλλων ζῴων, τῷ τιμῆς ὀρέγεσθαι. Ξε. Ἱέρ. 7, 3. (Ταχὺ ἂν τὸ τοῦ Ἀναξαγόρου γεγονὸς εἴη, ὁμοῦ πάντα χρήματα. Πλ. Φαίδ. 72. Ἔγραψαν ταῦτα ἃ δὴ πάντες ὑμνοῦσι, γνῶθι σαυτὸν καὶ μηδὲν ἄγαν. Πλ. Πρω. 343.)

A. 3. So erscheinen denn auch Pronominaladjective im Neutrum substantivirt vor (dinglichen oder doch als dinglich gefaßten) Substantiven männlichen und weiblichen Geschlechtes: eben so ἕν, δύο, τρία ꝛc. zwei, drei Dinge. Τί ποτ' ἐστὶν αὐτό, ἡ ἀρετή; Πλ. Πρω. 360. — Καὶ τοῦτό τοι τἀνδρεῖον, ἡ προμηθία. Εὐ. Ἱκ. 510. Τοῦτο ὡς ἀληθῶς ψεῦδος καλεῖται, ἡ ἐν τῇ ψυχῇ ἄγνοια ἡ τοῦ ἐψευσμένου. Πλ. πολ. 382. Τοῦτ' ἔσθ' ὃ θνητῶν εὖ πόλεις οἰκουμένας δόμους τ' ἀπόλλυσ', οἱ καλοὶ λίαν λόγοι. Εὐ. Ἱπ. 486. — Πᾶσαι ψυχαὶ πεφύκασιν αὐτὸ τοῦτο, ψυχαί, εἶναι. Πλ. Φαίδ. 94.

Τοῦτό γε αὐτό, ἡ εὐβουλία, δῆλον ὅτι ἐπιστήμη τίς ἐστιν. Πλ. πολ. 428. — Ἐκεῖνο ἰσχύει μέγα, πλοῦτος λαβών τε τοῦτον εὐγενὴς ἀνήρ. Εὐ. Ἀρχ. 18. Ἐκεῖνο κερδαίνειν ἡγεῖται, τὴν ἡδονήν. Πλ. πολ. 606. — Ἔσται οὗ ἐπιθυμοῦμεν, φρονήσεως. Πλ. Φαίδ. 66. — Ἀμφοτέροις κατεῖχον τοὺς πολίτας, καὶ ταῖς τιμωρίαις καὶ ταῖς ἐπιμελείαις. Ἰσ. 7, 48. — Δύο ἐστὶ τὰ παιδεύοντα τοὺς νέους, ἥ τε τῶν ἀδικούντων τιμωρία καὶ ἡ τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς διδομένη δωρεά. Λυκ. 10. Δύο ἔτι λοιπά, ἥ τε σωφροσύνη καὶ οὗ δὴ ἕνεκα πάντα ζητοῦμεν, δικαιοσύνη. Πλ. πολ. 430. Ἐλεύθερος πᾶς ἑνὶ δεδούλωται, νόμῳ, δυσὶν δὲ δοῦλος καὶ νόμῳ καὶ δεσπότῃ. Μέ. 669. — Μὴ τρισὶ τοῖς ἀξυμφορωτάτοις τῇ ἀρχῇ, οἴκτῳ καὶ ἡδονῇ λόγων καὶ ἐπιεικείᾳ, ἁμαρτάνετε. Θ. 3, 40, 1. (Ὁ Λεπτίνου νόμος τρία τὰ μέγιστα ὀνείδη κτᾶται, φθονερούς, ἀπίστους, ἀχαρίστους εἶναι δοκεῖν. Δη. 20, 10.) — Ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρόν, τούτων ἐγκράτειαν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. Ἰσ. 1, 21. [Vgl. Bekker Hom. Blätter S. 229 ff. u. Dial. Sy. 50, 1, 7.]

A. 4. Die etwa hinzutretende **Präposition** wird bei der epexegetischen Apposition bald wiederholt, bald nicht, letzteres wenn eine **engere** Verbindung statt findet. Οὐ περὶ ἑνὸς μόνου, δουλείας ἀντ' ἐλευθερίας ἀγωνίζεσθε. Θ. 2, 63, 1. Ἐπὶ τὸ κρεῖσσον τούτου πολύ, τὸ ἑκόντας πείθεσθαι, ἄλλη ἐστὶ συντομωτέρα ὁδός. Ξε. Κυ. 1, 6, 21. Ὑπὸ ταύτης ἄγονται τῆς ἐλπίδος, τῆς τοῦ ὄψεσθαί τι ἐκεῖ ὧν ἐπεθύμουν. Πλ. Φαίδ. 68. Τὸ μέλος ἐκ τριῶν ἐστι συγκείμενον, λόγου τε καὶ ἁρμονίας καὶ ῥυθμοῦ. Πλ. πολ. 398. — Ἐκ τούτων οἱ ὀνομαστοὶ γίγνονται, ἐκ τῶν ἐπιτηδευσάντων ἕκαστα. Πλ. Λυ. 183. Αἱ ἐπὶ τούτου πράξεις ἅπασαι, ἐπὶ τοῦ ἀλύπως ζῆν καὶ ἡδέως, ἆρ' οὐ καλαί; Πλ. Πρω. 358. Ἀσθενῶν μετὰ ποτέρου ἂν ἡδέως κινδυνεύοις, μετὰ σοφοῦ ἰατροῦ ἢ μετ' ἀμαθοῦς; Πλ. Εὐθύδ. 280. Vgl. die Beispiele § 51, 1, 4.

A. 5. Unser **nämlich** wird bei der epexegetischen Apposition, auch wenn als solche ein Infinitiv mit oder ohne Artikel eintritt, so wenig wie im Lateinischen ausgedrückt. Doch erscheint statt dessen (nach Substantiven) zuweilen λέγω **ich meine**; λέγω δέ, wenn es zuerst steht, jedoch, wenigstens bei Spätern, auch ohne δέ. [Lobeck zu So. Ai. 569.] Ἕτερον ἀπεκτείνατε, Κτησικλέα λέγω. Δη. 21, 180. (Ὦ μῆτερ ἐσθλοῦ παιδός, Ἀλκμήνην λέγω, ἔξελθε. Εὐ. Ἡρ. 642. Προσέκρουσ' ἀνθρώπῳ πονηρῷ, Ἀνδροτίωνα λέγω. Δη. 24, 6.) — Παρ' ὧν ἂν ἕκαστοι δύνωνται, τούτων τῶν τὴν Ἀσίαν οἰκούντων λέγω, χρήματα λαμβάνουσιν. Δη. 8, 24.

A. 6. **Der Infinitiv ohne Artikel erscheint als No. oder Ac. epexegetisch** da wo er auch ohne Artikel stehen würde, wenn das **Pronomen dem er sich angefügt nicht da stände**, wiewohl auch hier der Artikel oft statthaft, zuweilen nothwendig ist. So zunächst nach **Substantiven** die ein pronominales oder qualitatives Adjectiv bei sich haben. Βάρος τι καὶ τόδ' ἐστίν, αἰνεῖσθαι λίαν. Εὐ. Ὀρ. 1162. Αὕτη μόνη ἐστὶ κακὴ πρᾶξις, ἐπιστήμης στερηθῆναι. Πλ. Πρω. 345. Τίς αὕτη τέρψις, ἄκοντας φιλεῖν; Σο. ΟΚ. 775. Σκεψώμεθα τὴν αὐλητικήν, οὐ δοκεῖ σοι τοιαύτη τις εἶναι, τὴν ἡδονὴν ὑμῶν μόνον διώκειν, ἄλλο δ' οὐδὲν φροντίζειν; Πλ. Γο. 501. — (Δύο ἔφαμεν εἶναι τὰς παρασκευὰς ἐπὶ τὸ ἕκαστον θεραπεύειν καὶ σῶμα καὶ ψυχήν, μίαν μέν, πρὸς ἡδονὴν ὁμιλεῖν, τὴν δὲ ἑτέραν, πρὸς τὸ βέλτιστον. Πλ. Γο. 513. Πότερον αἱρεῖ τῶν λόγων, τὴν μάθησιν ἀνάμνησιν εἶναι ἢ ψυχὴν ἁρμονίαν; Πλ. Φαίδ. 92. Παισὶν ὑπεῖπον τοῖςδε τοὺς αὐτοὺς λόγους, τιμᾶν πόλιν. Εὐ. Ἱκ. 1171. —) Ἔστι πενία αὕτη σαφής, τὸ δεόμενόν τινος μὴ ἔχειν χρῆσθαι. Ξε. οἰκ. 8, 2. Εὑρήσομεν ταύτην ἀρχὴν οὖσαν πάντων τῶν κακῶν, τὸ μὴ ἐθέλειν τὰ δίκαια πράττειν ἁπλῶς. Δη. 16, 24. [z. Th. 1, 32, 3.] Μία αὕτη σωτηρία καὶ πόλεως καὶ ἔθνους ἐστί, τὸ προστατῶν ἀνδρῶν ἀγαθῶν καὶ συμβούλων σπουδαίων τυχεῖν. Δείν. 1, 76. — Μανικὸν ἐν νῷ ἔχεις ἐπιχείρημα ἐπιχειρεῖν, διδάσκειν ἃ οὐκ οἶσθα, ἀμελήσας μανθάνειν. Πλ. Ἀλκ. α, 113. Δέομαι ὑμῶν δικαίαν δέησιν, ἐξ

ἴσου ἡμῶν ἀμφοτέρων ἀκοῦσαι. Δη. 29, 4. — (Οὐ θαῦμ' ἔλεξας, θνητὸν ὄντα δυστυχεῖν. Εὐ. Πρωτ. 4.)

A. 7. Eben so steht der Infinitiv meist ohne Artikel nach substantivirten Neutren, besonders von Pronominaladjectiven. Vgl. § 51, 7, 4. Τὸ ῥᾷστον εἶπας, αἰτιάσασθαι θεούς. Εὐ. Ἀρχ. 24. Πᾶσι κοινὸν τόδε ἰδίᾳ θ' ἑκάστῳ καὶ πόλει, τὸν μὲν κακὸν κακόν τι πάσχειν, τὸν δὲ χρηστὸν εὐτυχεῖν. Εὐ. Ἑκ. 903. Τί δὴ βροτοῖσιν οὐκ ἔστιν τόδε, νέους δὶς εἶναι καὶ γέροντας αὖ πάλιν; Εὐ. Ἱκ. 1080. Ἔστι τοῦτο, λόγῳ λέγειν τὰ ὄντα τε καὶ μή. Πλ. Κρατ. 385. Αὐτὸ τοῦτό ἐστι χαλεπὸν ἡ ἀμαθία, τὸ μὴ ὄντα καλὸν κἀγαθὸν μηδὲ φρόνιμον δοκεῖν αὑτῷ εἶναι ἱκανόν. Πλ. συ. 204. Κεῖνο τέκνον κάλλιον, ἰσότητα τιμᾶν. Εὐ. Φοί. 535. Χαλεπόν ἐστιν ὃ μέλλω ποιεῖν, ἀνδρὸς ἀρετὴν διὰ λόγων ἐγκωμιάζειν. Ἰσ. 9, 8. — Δεινὸν τόδ' εἶπας, ξενοφονεῖν ἐπήλυδας. Εὐ. Ἰφ. Τ. 1021. Τοῦτ' αὐτὸ χρῄζω, πάντας Ἀργείους μαθεῖν. Εὐ. Ἱκ. 1067. Μόνου αὐτοῦ καὶ θεὸς στερίσκεται, ἀγένητα ποιεῖν ἅσσ' ἂν ᾖ πεπραγμένα. Ἀγάθων Ἀρλ. Εὐδ. 5, 2. Ἓν οὐκ ἐπίστασθ' οὐδ' ἐθηράσασθέ πω, φρονεῖν διδάσκειν οἷσιν οὐκ ἔνεστι νοῦς. Εὐ. Ἱπ. 919. Ἑνὸς μόνου δεῖ, τάσδε συγκρόψαι τάδε. Εὐ. Ἰφ. Τ. 1052. Ἓν [δὴ] νομίζω τοῦτο τῶν ἀνελευθέρων εἶναι, τὸ βαδίζειν ἀρρύθμως ἐν ταῖς ὁδοῖς. Ἄλεξις 262. — Οὐκ ἄλλο πλὴν ὕβρις τάδ' ἐστί, κρείσσω δαιμόνων εἶναι θέλειν; Εὐ. Ἱπ. 474. Ἀμφότερα δόξω, καὶ περὶ τὴν φιλοσοφίαν διαφέρειν καὶ κοσμιώτερον βεβιωκέναι τῶν ἄλλων. Ἰσ. 15, 162. — Τοῦτο ἐγὼ παντάπασι διδακτὸν ᾤμην εἶναι, τὸ ἐπιμελῆ ποιῆσαι. Ξε. οἰκ. 12, 10.

(A. 8. Nicht hieher zu ziehen sind die Stellen an denen ein epexegetischer Infinitiv einem andern Infinitiv angefügt ist. Δοκῶ τὸ ῥᾷστον ποιεῖν, ἐπιτιμᾶν τοῖς ἄλλοις. Ἰσ. 10, 15. Τόδ' ἐγώ φημι χρῆναι ποιεῖν, ὡς τάχιστα πειρᾶσθαι ὡς πλεῖστα παραιρεῖν. Ξε. Κυ. 6, 1, 15. Κινδυνεύουσι τοιοῦτόν τι ποιεῖν οἱ τὴν δίκην φεύγοντες, τὸ ἀλγεινὸν αὐτοῦ καθορᾶν, πρὸς δὲ τὸ ὠφέλιμον τυφλῶς ἔχειν. Πλ. Γο. 479. Τὸν μέλλοντα ἔμφρονα κριτὴν ἔσεσθαι δεῖ ταῦτα τρία ἔχειν, ὅ τέ ἐστι πρῶτον γιγνώσκειν, ἔπειτα ὡς ὀρθῶς, ἔπειθ' ὡς εὖ. Πλ. νό. 669. Vgl. z. Th. 2, 77, 4. 5, 6, 3 u. z. Her. 8, 109, 1.)

A. 9. Auch nach Adverbien erscheint der epexegetische Infinitiv, besonders nach οὕτως. (Ueber ὧδε vgl. Her. (2, 121, 2.) 3, 4, 2. (142, 3.) 5, 95. 7, 8, 5.) Ὑμᾶς ὦ παῖδες οὕτως ἐξ ἀρχῆς ἐπαίδευον, τοὺς μὲν γεραιτέρους προτιμᾶν, τῶν δὲ νεωτέρων προτετιμῆσθαι. Ξε. Κυ. 8, 7, 10. (Ἐνταῦθ' ἀνήρ τίς ἐστιν ἀνδρὸς διάφορος, ἐν τῷ τό, τε κακὸν εὖ φέρειν καὶ τἀγαθόν. Φιλή. 166.)

[A. 10. Einem Satze kann ein Substantiv mit einer Bestimmung als Apposition angefügt werden, entweder als No. mit Bezug auf das Subject oder als Ac. wo das Ergebniß der Handlung zu bezeichnen ist. Κεῖνται πεσόντες πίστις οὐ σμικρὰ πόλει. Εὐ. Ῥησ. 415. Ἐμέθυον, ἱκανὴ πρόφασις εἰς θἀμαρτάνειν. Φιλή. 200. Τὸ λοίσθιον δή, θριγκὸς ἀθλίων κακῶν, δούλη γυνὴ γραῦς Ἑλλάδ' εἰσαφίξομαι. Εὐ. Τρῳ. 489. — Οὐ παύσομαι τὰς Χάριτας Μούσαις συγκαταμιγνύς, ἡδίστην συζυγίαν. Εὐ. Ἡρ. μ. 675. Εὐδαιμονοίης, μισθὸν ἡδίστων λόγων. Εὐ. Ἠλ. 231. Οὐ δεῖ ἐπιθυμίαις ἐᾶν ἀκολάστους εἶναι καὶ ταύτας πληροῦν, ἀνήνυτον κακόν. Πλ. Γο. 507. Τοιοῦτον ἀνθρώποισιν ἡ δυσπραξία, ἧς μήποθ' ὅστις καὶ μέσως εὔνους ἐμοὶ τύχοι, φίλων ἔλεγχον ἀψευδέστατον. Εὐ. Ἡρ. μ. 57. Vgl. Dial. Sy. A. 6.]

A. 11. Häufiger finden sich Substantivirungen ohne Verbum ankündigend vor einem Satze (zuweilen auch eingeschoben), der dann der epexegetische Apposition entspricht. Gewöhnlich nimmt man solche Substantivirungen als Accusative, vielleicht nur dann mit Recht wenn sie in einer Art von transitivem Verhältnisse zu dem Verbum des Satzes stehen, da sie in manchen Fällen mit dem Subject in Beziehung stehen. Von Pronominaladjectiven gehören hieher αὐτὸ τοῦτο gerade so, ταὐτὸ τοῦτο eben so (vgl. § 46, 3, 3), δυοῖν θάτερον

eins von beiden, ἀμφότερον beides; eben so der Artikel τό, z. B. mit einem Ge., wie τὸ τῶν παιζόντων wie man im Scherz zu sagen pflegt. Αὐτὸ τοῦτο, τοὺς φίλους ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοισιν ὠφελεῖν. Εὐ. Ὀρ. 665. Ταὐτὸ τοῦτο, ἰδίᾳ διαλυσάμενος οὐδ' εἰςήγαγε τὸν Πολύζηλον. Δη. 21, 39. — Δυοῖν θάτερον ἢ οὐδαμοῦ ἔστι κτήσασθαι τὸ εἰδέναι ἢ τελευτήσασιν. Πλ. Φαίδ. 66. Δυοῖν δεῖ θάτερον, ἢ πρωτεύειν ἐν τοῖς Ἕλλησιν ἢ παντάπασιν ἀνῃρῆσθαι. Ἰσ. 6, 89. Δυοῖν τὰ ἕτερα, ἢ οὐδαμοῦ ἡμῖν ἢ πάνυ που ὀλιγαχοῦ αἱ ἡσύχιαι πράξεις ἐν τῷ βίῳ καλλίους ἐφάνησαν ἢ αἱ ταχεῖαί τε καὶ ἰσχυραί. Πλ. Χαρμ. 160. — Ἀμφότερον οὗτος, εὐτυχεῖ τε καὶ φρονεῖ. Φιλή. 103. Ὁρῶσι τοὺς αὐτοὺς ἀμφότερα, καὶ δικαιοτάτους ὄντας καὶ μεγίστην δύναμιν κεκτημένους. Ἰσ. 8, 139. — Τὸ τῆς παροιμίας, ὁρῶντες οὐχ ὁρῶσι καὶ ἀκούοντες οὐκ ἀκούουσιν. [Δη. 25, 89.] Πῶς ζῇ; Τὸ τῶν παιζόντων, ἔφη, τοῦτο σὺ καὶ ἐμοὶ ἐρεῖς. Πλ. πολ. 573.

A. 12. Am häufigsten erscheinen so als Ankündigung, ein Urtheil über den Inhalt des Satzes aussprechend, substantivirte Adjective, besonders Superlative, selten Participia, z. B. τὸ λεγόμενον wie man zu sagen pflegt. Vgl. § 46, 3, 3. Κεφάλαιον τῶν εἰρημένων, οἵουςπερ τοὺς ὑφ' ὑμῶν ἀρχομένους οἴεσθε δεῖν περὶ ὑμᾶς εἶναι τοιούτους χρὴ περὶ τὴν ἀρχὴν τὴν ἐμὴν ὑμᾶς γίγνεσθαι. Ἰσ. 3, 62. Τὸ πάντων μέγιστον καὶ κάλλιστον, τὴν μὲν σὴν χώραν αὐξανομένην ὁρᾷς, τὴν δὲ τῶν πολεμίων μειουμένην. Ξε. Κυ. 5, 5, 24. — Τὸ πάντων ἀνανδρότατον, τῶν ὑμετέρων αὐτῶν χάριν προςοφείλετε. Δη. 3, 31. Τὸ πάντων θαυμαστότατον, ἐπαινοῦσι μὲν πάντες τὰ τοιαῦτα ἐπιτηδεύματα, μιμεῖσθαι δ' αὐτὰ οὐδεμία πόλις ἐθέλει. Ξε. Λακ. π. 10, 8. Ἔπειτα τὸ δεινότατον· εἰ καὶ δεδωκότες ἦτε ὡς μάλιστα τὴν προῖκα, ἣν οὐ δεδώκατε, τίς ὁ τούτων αἴτιος; Δη. 31, 14. Τὸ πάντων ἐναντιώτατον αὐτονομίᾳ, καθίστατε δεκαδαρχίας. Ξε. Ἑλ. 6, 3, 8. — Τὸ ῥᾷστον τοῖς ἀδικεῖν προῃρημένοις, μαρτυρήσει τις αὐτῷ κατ' ἐμοῦ. Δη. 33, 37. Εἰμὶ ἐπὶ τῷ βουλομένῳ, ἄν τε τύπτειν βούληται, ἐάν τε, τὸ ἔσχατον, ἀποκτεῖναι. Πλ. Γο. 508. — Τὸ λεγόμενον, τὰ παίδων μαθήματα θαυμαστὸν ἔχει τι μνημεῖον. Πλ. Τί. 26. Τὸ λεγόμενον, κατόπιν ἑορτῆς ἥκομεν. Πλ. Γο. 477. Σχολῇ που, τὸ κατὰ τὴν παροιμίαν λεγόμενον, ὅ γε τοιοῦτος ἄν ποτε ἕλοι πόλιν. Πλ. σο. 261. (Ὦ ἑταῖρε, μεταξὺ τῶν λόγων, ἆρ' οὐ τόδε ἦν τὸ δένδρον ἐφ' ὅπερ ἦγες ἡμᾶς; Πλ. Φαίδ. 230.)

A. 13. Aehnlich finden sich auch Substantive, selbst ohne ein Adjectiv σημεῖον, τεκμήριον, meist mit δέ: zum Beweise dient der Umstand daß —. Ἀδολεσχεῖν δοκῶ καὶ ἀερομετρεῖν καὶ τὸ πάντων δὴ ἀνοητότατον δοκοῦν εἶναι ἔγκλημα, πένης καλοῦμαι. Ξε. οἰκ. 11, 3. Τὸ δὴ σχετλιώτατον καὶ μέγιστον ἔμοιγε δοκοῦν ὕβρεως εἶναι σημεῖον, τοσούτων ἀνθρώπων σὺ παρελθὼν ἀθρόων κατηγορεῖς. Δη. 21, 135. — Οὐκ ἀπέχρη. σημεῖον δέ, ἔθεσθε ἱερὸν νόμον. Δη. 21, 35. Τὰ ὄρνεα διεφθείρετο. τεκμήριον δέ, τῶν ὀρνίθων ἐπίλειψις σαφὴς ἐγένετο. Θ. 2, 50. u. dort Kr.

A. 14. Gewöhnlicher tritt nach diesen Ausdrücken (A. 13) γάρ ein, das auch nach denen A. 12 nicht selten folgt, so daß sie dann als Satz zu fassen sind: Beweis ist Folgendes: nämlich. Ἀθηναῖοι περὶ χρηστῆς δόξης μᾶλλον ἐσπούδαζον ἢ περὶ χρημάτων. τεκμήριον δέ· χρήματα γὰρ πλεῖστα ὑπὲρ φιλοτιμίας ἀνήλωσαν. Δη. 20, 10. Οὐδὲν ἐπίστευον ἐκεῖνοι. σημεῖον δέ· οὐ γὰρ ἂν δεῦρ' ἥκον ὡς ἡμᾶς. Δη. 19, 58. — Τῆς Κλεισθένους πολιτείας οὐκ ἂν εὕροιμεν μᾶλλον συμφέρουσαν. τεκμήριον δὲ μέγιστον· οἱ γὰρ ἐκείνῃ χρώμενοι παρ' ἑκόντων τῶν Ἑλλήνων τὴν ἡγεμονίαν ἔλαβον. Ἰσ. 7, 17. Τὸ ἐν τοῖς πρεσβύτατον εἶναι τὸν θεὸν τίμιον. τεκμήριον δὲ τούτου· γονῆς γὰρ Ἔρωτος οὔτ' εἰσίν οὔτε λέγονται ὑπ' οὐδενὸς οὔτε ἰδιώτου οὔτε ποιητοῦ. Πλ. συ. 178. — Ἐβούλοντο τοὺς ἀμείνους τὰ ἄξια ἔχειν. τεκμήριον δὲ ὡς οὐ πολεμίως ἔπρασσον· οὐ γὰρ ἠδίκησαν οὐδένα. Θ. 3, 66, 1.

Κεφάλαιον τοῦ καλῶς ἀλλήλοις ὁμιλεῖν· αἱ γὰρ κτήσεις ἀσφαλεῖς ἦσαν. Ἰσ. 7, 35. Τὸ δὲ πάντων μέγιστον καὶ γνωριμώτατον ὑμῖν· ὁ γὰρ τοῦ Σόλωνος νόμος οὐδὲ διαθέσθαι τὸν ποιητὸν ἐᾷ τὰ ἐν τῷ οἴκῳ, ὅταν

ποιηθῇ. Δη. 44, 67. Αὐτὸ τὸ ἐναντιώτατον· αὕτη γὰρ ἡ εἰρήνη τὸν δῆμον τὸν Ἀθηναίων ὑψηλὸν ἦρεν. Ἀνδ. 4, 6. Τὸ ἐχόμενον· στρατόπεδον γὰρ ἔτη δέκα κατέσχεν. Ἰσ. 12, 81. [Ueber δῆλον δέ z. Th. 1, 11, 1.]

A. 15. Nach Substantivirungen der Art findet sich auch ὅτι. Τὸ μέγιστον, ὅτι τῶν ἐξ αὐτοῦ γεγονότων οὐδένα κατέλιπεν ἰδιωτικοῖς ὀνόμασι προςαγορευόμενον. Ἰσ. 9, 72. Τὸ ἔσχατον πάντων, ὅτι πανταχοῦ παραπῖπτον τὸ σῶμα θόρυβον παρέχει. Πλ. Φαῖδ. 66.

A. 16. Ein Adjectiv der Art kann aber auch durch das Relativ eingeführt werden, sowohl wenn ein selbständiger Satz als wenn γάρ oder ὅτι darauf folgt. S. § 51, 13, 13.

§ 58. Nominale Congruenz.

1. Der höchste Grundsatz der Congruenz ist daß Gleiches sich möglichst dem Gleichen geselle. Bei attributiver und prädicativer Verbindung muß der adjectivische Begriff mit seinem Nomen im Genus, Numerus und Casus übereinstimmen; bei anaphorischer regelmäßig im Genus und Numerus; bei appositiver im Casus. Ausnahmen § 45, 2, 3 und 56, 9, 4.

A. 1. Anaphorisch nennen wir nicht bloß eine solche Verbindung bei der ein Pronomen, namentlich ein demonstratives oder relatives, sondern auch die bei der ein Adjectiv oder Particip sich auf ein (meist vorhergehendes) Nomen bezieht.

A. 2. Oefter als andere Sprachen läßt die griechische da wo Form und Sinn collidiren den Sinn vorwalten: die formale Congruenz weicht der realen. So erscheint besonders bei einem persönlichen Neutrum der adjectivische Begriff im Masculinum. (Ὦ φίλτατ', ὦ περισσὰ τιμηθεὶς τέκνον θανεῖ πρὸς ἐχθρῶν. Εὐ. Τρῳ. 735. Ὦ χαῖρε κολλικοφάγε Βοιωτίδιον. Ἀρ. Ἀχ. 872.) Παρεκάθητο νέον ἔτι μειράκιον, ὡς μὲν ἐγᾦμαι, καλόν τε κἀγαθὸν τὴν φύσιν· τὴν δ' οὖν ἰδέαν πάνυ καλός. Πλ. Πρω. 315. — Ἀμφὶ πύλας Κάδμου θανόντων ἑπτὰ γενναίων τέκνων ἄπαιδές εἰσιν, οὕς ποτ' Ἀργείων ἄναξ Ἄδραστος ἤγαγεν. Εὐ. Ἱκ. 11. Τὰ μειράκια τὰ πᾶσι παραγεγενημένα τούτοις ἐκείνου κατεφρόνησαν, οὐκ ὀρθῶς γιγνώσκοντες. Ἰσ. 12, 229. Τὰ μειράκια τάδε πρὸς ἀλλήλους οἴκοι διαλεγόμενοι θαμὰ ἐπιμέμνηνται Σωκράτους. Πλ. Λάχ. 180. Οὐκ ἂν δέξαιτο ἐγκαταλιπεῖν γε τὰ παιδικὰ ἢ μὴ βοηθῆσαι κινδυνεύοντι. Πλ. συ. 179. — Ταῦτ' ἔλεγεν ἡ μιαρὰ καὶ ἀναιδὴς αὕτη κεφαλή, ἐξεληλυθὼς τῇ προτεραίᾳ παρ' Ἀριστάρχου. Δη. 21, 117. Αἱ μένουσαι φυλαὶ διατρίβουσι μελετῶσαι τά τε ἄλλα καὶ διαγωνιζόμενοι ταῦτα πρὸς ἀλλήλους διατελοῦσιν. Ξε. Κυ. 1, 2, 12. Τίς ἂν ἐφίκοιτο τοιαύτης φύσεως ὃς τὸν τόπον ὅλον ἐπὶ μετριότητα παρήγαγεν; Ἰσ. 9, 49. [Vgl. Reg. z. Th. u. Congruenz.]

A. 3. Verletzt wird die Regel scheinbar zuweilen beim Dual. Namentlich wird für den selbst bei Dichtern seltenen Artikel τά (§ 44, 2, 4 vgl. Ar. Ri. 424 u. 484) in der att. Prosa wohl immer τώ als zweigeschlechtlich gebraucht. vgl. § 14, 9, 2; vorherrschend in derselben auch τοῖν für ταῖν. Vgl. jedoch Hertlein obss. critt. 1 p. 31 s. u. Mehlhorn in der Zeitschr. f. Alt. 1838 S. 598. Eben so steht τώδε für τάδε Aisch. Cho. 205, So. Ant. 561, El. 977 (wo auch ὤ) und für das bezweifelte ταύτα (Ar. Frie. 847, wo Bekker ταύτας hat vgl. § 25, 5, 1) steht τούτω Aisch. Pers. 184, Isokr. 8, 116. 12, 156. 157, Xen. Kyr. 1, 2, 11, Plat. Rep. 452, Theait. 195, Ges. 679 a, ἀλλήλω Xen. Mem. 2, 3, 18. Neben ταύταιν Plat. Pol. 260, Isai. 5, 15, Soph. Oid. T. 1504, K. 859. 1149 erscheint τούτοιν (αὐτοῖν) Plat. Phil. 57, Ges. 693 e, 898 a; dagegen ταῖνδε Soph. El. 1133, Oid. K. 445, 1290, Ar. Ekkl. 1106.

Aehnlich findet sich neben αὐτά Soph. Ant. 770 αὐτώ Aisch. Pers. 187, And. 1, 113, wie neben αὐταῖν Soph. Oid. K. 346, Thesm. 950 αὐτοῖν (τοῖν θεοῖν) And. 1, 113, neben ἀλλήλαιν Xen. Mem. 2, 3, 18 ἀλλήλοιν Pl. Rep. 427, d. Vereinzelt sind femininisch ἐμώ Eur. Suppl. 140, μόνω Plat. Ges. 777, ματαίω und ἀξίω Eur. El. 1064, (daneben εὐπρεπεστάτα κασιγνήτα Aisch. Pers. 184 f.), οἷν Pl. Ges. 644, ἀμφοτέροιν Isokr. 4, 139, (δυοῖν Ῥοδίοιν πεντηκοντόροιν Thuk. 6, 43, 1?) Selten findet sich das dualische Masc. eines Particips bei einem Femininum wie So. OK. 1676: ἰδόντε καὶ παθούσα, Plat. Phaidr. 237: δύο τινέ ἐστον ἰδέα ἄρχοντε καὶ ἄγοντε, οἷν ἑπόμεθα. [vgl. Valckenaer z. Eu. Hipp. 386 u. Hermann z. Vig. 51.] Οὕτω διάκεισθον ὥσπερ εἰ τὼ χεῖρε, ἃς ὁ θεὸς ἐπὶ τὸ συλλαμβάνειν ἀλλήλαιν ἐποίησεν, ἀφεμένω τούτου τράποιντο πρὸς τὸ διακωλύειν ἀλλήλω. Ξε. ἀπ. 2, 3, 18. Vgl. die Erkl. zu Eur. Alk. 913 (927) und § 44, 2, 4; über ἀμφοτέρω, οι wie über δύο eb. A. 2. 3.

A. 4. Ueber die Assimilation des Relativs § 51, 10, 1 ff.

2. Wenn verbundene Nomina ein gemeinschaftliches Attribut haben, so wird dieses gewöhnlich nur dann wiederholt, wenn Deutlichkeit oder Nachdruck es erfordern; sonst dem nächsten Nomen angefügt.

A. 1. Wiederholt wird gewöhnlich der Artikel, wenn die verbundenen Begriffe jeder für sich zu denken, nicht zu einer Gesammtheit zusammen zu fassen sind (vgl. Spalding z. Dem. Meid. 36, 5 u. Kr. Stud. 2 S. 79 f.); meist auch, wenn die Nomina von verschiedenem Genus; regelmäßig, wenn sie von verschiedenem Numerus sind. Ausnahmen sind am häufigsten bei Platon. [Kr. z. Dion. p. 140 u. z. Xe. An. 2, 1, 7. vgl. Isai. 8, 37.] Σκόπει εἰ τάδ' ἐστὶ τό, τε δίκαιον καὶ τὸ ἄδικον καὶ καλὸν καὶ αἰσχρόν. Πλ. Εὐθύφ. 7. Ἀγαθὸν εἶναί φησι τὸ χαίρειν πᾶσι ζῴοις καὶ τὴν ἡδονὴν καὶ τέρψιν. Πλ. Φιλ. 11. Αἴτιος τοῦ ζῆν ὁ ἄρχων τε καὶ βασιλεὺς τῶν πάντων. Πλ. Κρατ. 396. — (Ἐφάνη ἄρτι ὡρισμένα τὸ ὅσιον καὶ μή. Πλ. Εὐθύφ. 9.) Πᾶς τις ἥδεται λέγων τά τ' ὄντα καὶ μή. Εὐ. ἀποσ. ἀδ. 89. Αἱ ἐμβολαὶ διὰ τὸ μὴ εἶναι τὰς ἀνακρούσεις καὶ διέκπλους ὀλίγαι ἐγίγνοντο. Θ. 7, 70, 4. Καταδύεται εἰς τὸ ἐντὸς τῆς ψυχῆς ὅ, τε ῥυθμὸς καὶ ἁρμονία. Πλ. πολ. 401. Τοῦ ὄντος τε καὶ ἀληθείας ἐρασταί εἰσιν οἱ φιλόσοφοι, Πλ. πολ. 501. Ἐμὲ αἱρήσει ἡ τῶν πολλῶν διαβολή τε καὶ φθόνος. Πλ. ἀπ. 28. Vgl. z. Dion. p. 201 u. zu Xe. An. 4, 3, 26.)

A. 2. Ein adjectivisches Attribut das zu mehreren Nominen gehört findet sich wiederholt gewöhnlich nur der Deutlichkeit oder des Nachdrucks halber oder wenn die Nomina von verschiedenem Genus oder Numerus (oder beides) sind. Oft jedoch wird es auch in diesem Falle nur Ein Mal gesetzt und dem nächsten Nomen angefügt. Ἡ αὐτὴ ἀρετὴ πολίτου τε σπουδαίου καὶ ἀνδρὸς σπουδαίου. Ἀρλ. πολ. 3, 2, 5. Ἓν σῶμα ἔχων καὶ ψυχὴν μίαν παντὶ θυμῷ φιλεῖ τοὺς ἑαυτὸν εὖ ποιοῦντας. Δη. 19, 227. — Ποταμοὺς εἰώθαμεν λέγειν τοὺς αὐτοὺς καὶ κρήνας τὰς αὐτάς, καίπερ ἀεὶ τοῦ μὲν ἐπιγιγνομένου νάματος, τοῦ δ' ὑπεξιόντος. Ἀρλ. πολ. 3, 1, 13. Ἐκεῖνος ὁ καιρὸς καὶ ἡ ἡμέρα ἐκείνη εὔνουν καὶ πλούσιον ἄνδρα ἐκάλει. Δη. 18, 172. Πάσαις ἡλικίαις καὶ πᾶσιν ἤθεσιν ἡ χρῆσις τῆς μουσικῆς ἐστι προσφιλής. Ἀρλ. πολ. 8, 5, 4. — Συχνῷ τῷ ψεύδει καὶ τῇ ἀπάτῃ κινδυνεύει ἡμῖν δεήσειν χρῆσθαι τοὺς ἄρχοντας ἐπ' ὠφελείᾳ τῶν ἀρχομένων. Πλ. πολ. 459.

Τὸν καλὸν κἀγαθὸν ἄνδρα καὶ γυναῖκα εὐδαίμονα εἶναί φημι, τὸν δὲ ἄδικον καὶ πονηρὸν ἄθλιον. Πλ. Γο. 470. Τὸν ἥττονα δουλούμεθ' ἄνδρες ἄνδρα καὶ πόλις πόλιν. Εὐ. ἱκ. 493. Εἰκός γε παντὶ καὶ λόγῳ καὶ μηχανῇ πατρίδος ἐρῶντας ἐκπονεῖν σωτηρίαν. Εὐ. Τη. 5. Ἀναμνήσθητε ἐξ ὅσων κακῶν καὶ πολέμου ὑμᾶς αὐτοὺς περιεποιήσατε καὶ τὴν πόλιν. Λυ. 6, 47. Δεήσομαι πάντων ὑμῶν μηδεμίαν μήτε χάριν μήτ' ἄνδρα ποιεῖσθαι περὶ πλείονος ἢ τὸ δίκαιον. Δη. 19, 1. vgl. 18, 275. (Ὁ σί-

γλος δύναται ἑπτὰ ὀβολοὺς καὶ ἡμιοβόλιον Ἀττικούς. Ξε. ἀν. 1, 5, 6. — Δεινὰ πεπόνθασι καὶ πόλεις ὅλαι καὶ ἔθνη. Δη. 18, 271. Λακεδαιμόνιοι καὶ ἡμεῖς οὔτε νόμοις οὔτε ἔθεσι χρώμεθα τοῖς αὐτοῖς οὔτε πολιτείᾳ. Δη. 20, 105. — Ἀμφοτέροις οἱ αὐτοὶ ὅρκοι καὶ ξυμμαχία κατέστη. Θ. 1, 102, 3. Τοὺς ἀναξίους παιδεύσεως ποῖ' ἄττα φῶμεν γεννᾶν διανοήματά τε καὶ δόξας; Πλ. πολ. 496. — (Μέγαρα ἀπέχει Συρακουσῶν οὔτε πλοῦν πολὺν οὔτε ὁδόν. Θ. 6, 49, 3. vgl. dort die Anm.)

A. 3. Ein Adjectiv als Attribut zweier persönlichen Singulare kann, wenn ohne Artikel, im Plural stehen. Σωφρόνων ἐστὶ καὶ ἀνδρὸς καὶ γυναικὸς οὕτω ποιεῖν ὅπως τὰ ὄντα ὡς βέλτιστα ἕξει. Ξε. οἰκ. 7, 15.

3. Ein adjectivischer Begriff der zu verbundenen Nominen als Prädicat gehört wird nur ein Mal gesetzt; eben so in der Regel adjectivische Pronomina welche sich auf verbundene Nomina beziehen.

A. 1. Ein adjectivischer Begriff auf zwei (verschiedene) persönliche Singulare als Prädicat bezogen steht im Singular, wenn jeder gleichmäßig; im Dual, wenn beide jeder für sich; im Plural, wenn sie verbunden zu denken sind. Der Plural (und Dual) steht im Masculinum auch wenn er sich auf ein Masc. und Fem. bezieht. Vgl. § 43, 1, 2. (Doch kann er sich auch nach dem nächsten Nomen richten. Vgl. Xen. Kyr. 7, 5, 60.) Ὁ μὲν σώφρων καὶ σωφρονοῦσα ἔστω πάντα εὐδόκιμος. Πλ. νό. 784. — Σωκράτει ὁμιλητὰ γενομένω Κριτίας τε καὶ Ἀλκιβιάδης πλεῖστα κακὰ τὴν πόλιν ἐποιησάτην. Ξε. ἀπ. 1, 21, 12. — Ἀγάθων καὶ Σωκράτης λοιποί. Πλ. συ. 193. — Ἄλκηστις ἠθέλησε μόνη ὑπὲρ τοῦ αὑτῆς ἀνδρὸς ἀποθανεῖν ὄντων αὐτῷ πατρός τε καὶ μητρός. Πλ. συ. 179. — Τὸ ἔσχατον τῆς ἐλευθερίας τοῦ πλήθους, ὅταν δὴ οἱ ἐωνημένοι καὶ αἱ ἐωνημέναι μηδὲν ἧττον ἐλεύθεροι ὦσι τῶν πριαμένων. Πλ. πολ. 563. — Εἶδον νέους τε καὶ νέας ὁμιλοῦντας φιλοφρόνως ἀλλήλοις. Πλ. νό. 835. — Ἧττον ἂν εἴη στάσις ἑνὸς ἄρχοντος ἢ πολλῶν. Ξε. ἀν. 5, 9, 29.

A. 2. Bei einer Verbindung persönlicher und sachlicher Nomina richtet sich das adjectivische Prädicat nach dem persönlichen, wenigstens im Genus, wenn es im Plural steht; zuweilen auch nach dem sachlichen, wenn dies näher steht. Ἐπόθετο τὸν Στρομβιχίδην καὶ τὰς ναῦς ἀπεληλυθότα. Θ. 8, 63, 1. Αὐτοί τε ἄνθρωποι καὶ γῆ αὐτῶν ἐπώνυμοι τοῦ καταστρεψαμένου καλοῦνται. Ἡρ. 7, 11, 3. Ἡ τύχη καὶ Φίλιππος ἦσαν τῶν ἔργων κύριοι. Αἰ. 12, 118. (Τιμωμένου πλούτου ἐν πόλει καὶ τῶν πλουσίων ἀτιμοτέρα ἀρετή τε καὶ οἱ ἀγαθοί. Πλ. πολ. 551.)

A. 3. Im Neu. Plu. steht ein adjectivisches Prädicat auf ein persönliches oder unpersönliches Nomen bezogen, wenn beide bloß als Gegenstände betrachtet werden. Ἡ καλλίστη πολιτεία τε καὶ ὁ κάλλιστος ἀνὴρ λοιπὰ ἂν ἡμῖν εἴη διελθεῖν. Πλ. πολ. 562. (Ἔχω αὐτῶν καὶ τέκνα καὶ γυναῖκας ἐν Τράλλεσι φρουρούμενα. Ξε. ἀν. 1, 8, 4.)

A. 4. Wenn zu mehrern unpersönlichen Nominen Ein adjectivisches Prädicat hinzugefügt wird, so richtet es sich entweder nach dem nächsten oder steht im Plu.; am häufigsten im Plural des Neu., in sofern die Nomina bloß als Gegenstände betrachtet werden. Vgl. z. Th. 3. 97, 3. In diesem Falle ist das adjectivische Prädicat eig. substantivirt. Vgl. 43, 4, 11. Καὶ νόμος καὶ φόβος ἱκανὸς ἔρωτα κωλύειν. Ξε. Κυ. 5, 5, 1, 9. Ἄφοβον δείκνυσι καὶ σχῆμα καὶ πρόσωπον καὶ λόγους. Ξε. Κυ. 6, 4, 20. Οὔτε τυραννίδες χωρὶς πόνου γένοιντ' ἂν οὔτ' οἶκος μέγας. Εὐ. Ἰξ. 2. — Τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν, ὅταν μὲν ἀγαθοῦ τινος αἴτια γίγνηται, ἀγαθὰ ἂν εἴη, ὅταν δὲ κακοῦ, κακά. Ξε. ἀπ. 4, 2, 32. Τέχναι πᾶσαι καὶ σοφίσματα διὰ τὸν Πλοῦτόν ἐσθ' εὑρημένα. Ἀρ. πλ. 160. Οὔτε σώματος κάλλος καὶ ἰσχὺς δειλῷ καὶ κακῷ ξυνοικοῦντα πρέποντα φαίνεται ἀλλ' ἀ-

πρεπῆ. Πλ. Μενέξ. 246. Δόξα καὶ ἐπιμέλεια καὶ νοῦς καὶ τέχνη καὶ νόμος σκληρῶν καὶ μαλακῶν πρότερα ἂν εἴη. Πλ. νό. 892. Λύπη ὀργή τ' εἰς ἕνα ψυχῆς τόπον ἐλθόντα μανία τοῖς ἔχουσι γίγνεται. Στ. 99, 2. Εὐγένειαί τε καὶ δυνάμεις καὶ τιμαὶ ἐν τῇ ἑαυτοῦ δῆλά ἐστιν ἀγαθὰ ὄντα. Πλ. Εὐθύδ. 279. Τὸ κινησόμενον καὶ κίνησιν συγχωρητέον ὡς ὄντα. Πλ. σο. 249. (Τῶν ὑπαρχόντων νόμων καὶ πολιτείας μενόντων οὐκ ἔνι τῶν αἰσχρῶν αὐτῷ τούτων ἀπαλλαγῆναι. Δη. 25, 68.)

A. 5. Substantivirte Neutra adjectivischer Pronomina können sich eben so auf mehrere unpersönliche Nomina auch von anderm Genus beziehen. Doch können sich die Pronomina auch adjectivisch gebraucht nach dem nächsten Nomen richten. (Auf zwei einheitliche Begriffe bezogen steht das Pronomen im Dual, in sofern jeder für sich zu betrachten ist.) Ἐπὶ μὲν τοὺς ἐχθροὺς στρατιώτας τρέφειν δεῖ· ἐπὶ δ' ἡμᾶς αὐτοὺς ψήφισμα, εἰςαγγελία, πάραλος, ταῦτ' ἐστὶν ἱκανά. Δη. 8, 29. (Οὐκ οἶδα) εἴτε χρὴ κακίαν εἴτ' ἄγνοιαν εἴτε καὶ ἀμφότερα ταῦτ' εἰπεῖν. Δη. 18, 20. Πᾶν δὴ τὸ καλῶς ἔχον ἢ φύσει ἢ τέχνῃ ἢ ἀμφοτέροις ἐλαχίστην μεταβολὴν ὑπ' ἄλλου ἐνδέχεται. Πλ. πολ. 381. — Ὁμολογεῖται τὴν φύσιν ἡμῶν ἔκ τε τοῦ σώματος συγκεῖσθαι καὶ τῆς ψυχῆς, αὐτοῖν δὲ τούτοιν οὐδεὶς ἔστιν ὃς οὐκ ἂν φήσειεν ἡγεμονικωτέραν πεφυκέναι τὴν ψυχὴν καὶ πλέονος ἀξίαν. Ἰσ. 15, 180. Εὐαγόρας παῖς ὢν ἔσχε κάλλος καὶ ῥώμην καὶ σωφροσύνην, ἅπερ τῶν ἀγαθῶν πρεπωδέστατα τοῖς τηλικούτοις ἐστίν. Ἰσ. 9, 22. Ἥκομεν ἐκκλησιάσοντες περὶ πολέμου καὶ εἰρήνης, ἃ μεγίστην ἔχει δύναμιν ἐν τῷ βίῳ τῷ τῶν ἀνθρώπων. Ἰσ. 8, 2. Εὐεργετῶν ἀνθρώπους καρποῦμαι ἀσφάλειαν καὶ εὔκλειαν, ἃ οὐ κατασήπεται. Ξε. Κυ. 8, 2, 22. — Φίλιππος καὶ πλοῦτον καὶ δύναμιν ἐκέκτητο ὅσην οὐδεὶς τῶν Ἑλλήνων, ἃ μόνα τῶν ὄντων καὶ πείθειν καὶ βιάζεσθαι πέφυκεν. Ἰσ. 5, 15.

A. 6. Substantivirt finden sich auch demonstrative und relative Pronomina im Neutrum besonders des Singulars auf ein Masc. oder Fem. selbst eines persönlichen Begriffes, bezogen oder es ankündigend. Φιλοσοφία ἐστὶ χάριεν, ἄν τις αὐτοῦ μετρίως ἅψηται ἐν τῇ ἡλικίᾳ. Πλ. Γο. 484. Ἐπιστήμης οὐδέν ἐστι κρεῖττον, ἀλλὰ τοῦτο ἀεὶ κρατεῖ. Πλ. Πρω. 357. Οὐχ ὧν ἕνεκα οἱ πολλοί φασι δεῖν πονηρίαν μὲν φεύγειν, ἀρετὴν δὲ διώκειν, τούτων χάριν τὸ μὲν ἐπιτηδευτέον, τὸ δ' οὔ, ἵνα δὴ μὴ κακὸς καὶ ἵνα ἀγαθὸς δοκῇ εἶναι. Πλ. Θε. 176. — Οὐδεπώποτε λόγους ἠγάπησα, ἀλλ' ἀεὶ ἐνόμιζον τοὺς περὶ τοῦτο διατρίβοντας ἀργοτέρους εἶναι πρὸς τὰς πράξεις. Ἰσ. 6, 15. — Ἡ γῆ ἐγέννησεν ἄνθρωπον, ὃ συνέσει ὑπερέχει τῶν ἄλλων. Πλ. Μενέξ. 237. — Εὐδαιμονίας τοῦτ' ἔστιν, οἷος νοῦν ἔχων. Μέ. Στ. 77, 4. Ὃ μεταξὺ ἀμφοτέρων ἔφαμεν εἶναι τὴν ἡσυχίαν, τοῦτό ποτε ἀμφότερα ἔσται λύπη τε καὶ ἡδονή. Πλ. πολ. 583.

A. 7. Zuweilen bezieht sich ein solches Neu. auf den verbalen Begriff der im Substantiv enthalten ist. [Kr. z. Dion. p. 4.] Τοῖς Ἀσιανοῖς πυγμῆς καὶ πάλης ἆθλα τίθεται καὶ διεζωσμένοι τοῦτο δρῶσιν. Θ. 1, 6, 4. Παντάπασι φύσεως κακίας σημεῖόν ἐστιν ὁ φθόνος καὶ οὐκ ἔχει πρόφασιν δι' ἣν ἂν τύχοι συγγνώμης ὁ τοῦτο πεπονθώς. Δη. 20, 140. Οὐδεμία παραίνεσις ἀγαθοὺς ἂν ποιήσειε τοξότας, εἰ μὴ ἔμπροσθεν τοῦτο μεμελετηκότες εἶεν. Ξε. Κυ. 3, 3, 50.

A. 8. Das Neu. besonders von Pronominaladjectiven kann sich auch auf nicht substantivische Begriffe beziehen. So selbst auf Verba, in sofern der Inf. entweder da steht oder (mit dem Zugehörigen) gedacht wird. Ὁ εὖ ζῶν μακάριός τε καὶ εὐδαίμων, ὁ δὲ μή, τἀναντία. Πλ. πολ. 354. — Φαμὲν οὐχ ἧσσον ὠφελῆσαι ὑμᾶς ἢ τυχεῖν τούτου. Θ. 1, 74, 3. Πατρὶ πείθεσθαι χρεὼν παῖδας νομίζειν τ' αὐτὸ τοῦτ' εἶναι δίκην. Εὐ. Ἀλ. 5. Οὐχ ὁ δουλωσάμενος, ἀλλ' ὁ δυνάμενος μὲν παῦσαι, περιορῶν δὲ ἀληθέστερον αὐτὸ δρᾷ. Θ. 1, 69, 2. Εὐψυχίαν ἔσπευσας ἀντ' εὐβουλίας, ὃ δῆτα πολλοὺς ὤλεσε στρατηλάτας. Εὐ. Ἱκ. 161. Φθονεῖ ἢ καὶ φοβεῖται· ἀμφότερα γὰρ τάδε πάσχει τὰ μείζω. Θ. 6, 78, 2.

A. 9. Das Relativ bezieht sich in einigen Stellen nach zwei verschiedenen Begriffen bloß auf den (wichtigern) ersten. Εὗρες ἄνδρας καὶ πόλισμ' ἐλεύθερον, οἵ σ' οὐκ ἔδεισαν. Εὐ. Ἡρ. 958. Οὐκ ἄχρηστοι αἱ πέρυσι πρεσβεῖαι ἐκεῖναι καὶ κατηγορίαι, ἃς οἱ πρέσβεις περιήλθομεν. Δη. 9, 72. [Vgl. Xe. An. 2, 5, 8 u. Pflugk zu Eur. Her. 363.]

A. 10. Auf einen Dual kann sich ein Plural beziehen. Ἄνδρε δύο χωρεῖτον, ὧν μαθόντες εἴσιτον. Σο. Φι. 539. Διάκεισθε ὥσπερ τὼ χεῖρε, ἃς ὁ θεὸς ἐπὶ τὸ συλλαμβάνειν ἀλλήλαιν ἐποίησεν. Ξε. ἀπ. 2, 3, 18.

4. Bei der appositiven und anaphorischen Verbindung richtet der Grieche sich oft nicht nach der Form, sondern nach dem Wesen des bezüglichen Begriffes.

A. 1. So können auf Collective jeglichen Geschlechtes (und Numerus) bezogen Participia (Adjective) und Pronomina im Plural des Masc. stehen, in sofern man die bezüglichen Individuen gedacht wissen will. Kr. De auth. p. 30 s., z. Dion. p. 32 u. Reg. z. Th. u. Plural.] Ὁ ὄχλος ἠθροίσθη, θαυμάζοντες καὶ ἰδεῖν βουλόμενοι τὸν Ἀλκιβιάδην. Ξε. Ἑλ. 1, 4, 13. (Τροίαν ἑλόντες δήποτ' Ἀργείων στόλος θεοῖς λάφυρα ταῦτ' ἐπασσάλευσαν. Αἰσ. Ἀγ. 577.) Στρατιὰ ἔτυχε παρελθοῦσα, πρὸς Βοιωτούς τι πράσσοντες. Θ. 6, 61, 2. Τὸ στράτευμα ἐπορίζετο σῖτον, κόπτοντες τοὺς βοῦς καὶ ὄνους. Ξε. ἀν. 2, 1, 6. — Μελέτω σοι τοῦ πλήθους καὶ περὶ παντὸς ποιοῦ κεχαρισμένως αὐτοῖς ἄρχειν. Ἰσ. 2, 15. [Selten so ἑαυτῶν, wie Th. 6, 53, 3.] Τίς σε αἰτιᾶται πόλις νομοθέτην ἀγαθὸν γεγονέναι καὶ σφᾶς ὠφεληκέναι; Πλ. πολ. 599. Τίς ἂν εὖ φρονῶν τοῦ τῆς Κακίας θιάσου τολμήσειεν εἶναι; οἳ νέοι μὲν ὄντες τοῖς σώμασιν ἀδύνατοί εἰσιν, πρεσβύτεροι δὲ γενόμεναι ταῖς ψυχαῖς ἀνόητοι. Ξε. ἀπ. 2, 1, 31. [z. Th. 3, 67, 2. 6, 80, 1.] Δεῖ ζηλῶσαι καὶ μιμήσασθαι τὴν ἐν Λακεδαίμονι βασιλείαν. ἐκείνοις γὰρ ἀδικεῖν ἧττον ἔξεστιν ἢ τοῖς ἰδιώταις. Ἰσ. 8, 142. [Ueber den Plural eines Verbums z. Th. 1, 72, 1.]

A. 2. So stehen auch nach Erwähnung von Ländern und Städten adjectivische Begriffe, auf deren Bewohner hinweisend, im Plu. des Masc.; im Plu. eben so auch Verba. Ἀφίκοντο εἰς Κοτύωρα, πόλιν Ἑλληνίδα, Σινωπέων ἀποίκους, οἰκοῦντας ἐν τῇ Τιβαρηνῶν χώρᾳ. Ξε. ἀν. 5, 5, 3. Θεμιστοκλῆς φεύγει ἐς Κέρκυραν, ὢν αὐτῶν εὐεργέτης. Θ. 1, 136, 1. Τῶν ἐπὶ Θράκης μεγίστη πόλις Ὄλυνθος· οὗτοι τῶν πόλεων προσηγάγοντο ἔστιν ἅς. Ξε. Ἑλ. 5, 2, 12. (Πυρώσω τὰς Ἀθήνας, οἵ γε ἐμὲ ὑπῆρξαν ἄδικα ποιοῦντες. Ἡρ. 7, 8, 3.) — Ναυτικὰ ἐξηρτύετο ἡ Ἑλλὰς καὶ τῆς θαλάσσης ἀντείχοντο. Θ. 1, 13, 1. Γοργίας ὁ Λεοντῖνος διέτριψε περὶ Θετταλίαν, ὅτε εὐδαιμονέστατοι ἦσαν. Ἰσ. 15, 155. Vgl. Th. 8, 61, 2.

A. 3. Auch auf einen individuellen Singular kann ein mehrheitlicher Begriff bezogen werden, in sofern dieser die Masse (oder doch eine Mehrheit, wie Th. 1, 136, 2) von Individuen zu denen jener mit gehört umfaßt. [zu Xe. An. 3, 4, 41 u. z. Th. 3, 22, 4. 6, 101, 5.] So besonders das Reflexiv der dritten Person; ferner αὐτοί, σφεῖς [4, 114, 5] und σφέτερος. Ἀγησίλαος εἶπεν ὡς εἰ μὴ ἑαυτοὺς αἱρήσονται, δηώσοι πᾶσαν τὴν γῆν αὐτῶν. Ξε. Ἑλ. 4, 6, 4. Κῦρος ἐπεσκοπεῖτο εἴ τι δυνατὸν εἴη τοὺς πολεμίους ἀσθενεστέρους ποιεῖν ἢ αὐτοὺς ἰσχυροτέρους. Ξε. Κυ. 5, 2, 22. Ὁ Λάμαχος παρεβοήθει ἀπὸ τοῦ εὐωνύμου τοῦ ἑαυτῶν. Θ. 6, 101, 5. — Τισσαφέρνης διελαύνων κατέκανε μὲν οὐδένα, διαστάντες δ' οἱ Ἕλληνες ἔπαιον καὶ ἠκόντιζον αὐτούς. Ξε. ἀν. 1, 10, 7. (Βασιλεὺς συνῄει καὶ εἶδον οἱ Ἕλληνες ἐγγὺς ὄντας καὶ παρατεταγμένους. Ξε. ἀν. 1, 10, 10.) Θεμιστοκλῆς ἐκέλευε τοὺς πρέσβεις μὴ ἀφεῖναι πρὶν ἂν αὐτοὶ κομισθῶσιν· ἐφοβεῖτο γὰρ μὴ οἱ Λακεδαιμόνιοι σφᾶς οὐκέτι ἀφῶσιν. Θ. 1, 91, 2. [zu 1, 72, 2 u. Reg. u. Pronomina g. E.] — Ὁ Γύλιππος ἀπήγαγε τοὺς σφετέρους. Θ. 7, 4, 3. [zu 5, 10, 6. vgl. Xe. Hell. 7, 5, 6. Das Verbum im Plural nach dem Namen des Feldherrn

3, 112, 3; über das Particip im No. des Plurals nach dem Verbum im Sing. zu 6, 25, 3.]

A. 4. In gleicher Weise treten nicht selten nach Singularen Plurale von Demonstrativen und Relativen ein, in sofern alle Individuen der Gattung zu bezeichnen sind. Vgl. Porson zu Eu. Or. 910. (Selten umgekehrt.) Κακὸν φυτὸν πέφυκεν ἐν βίῳ γυνὴ καὶ κτώμεθ' αὐτὰς ὡς ἀναγκαῖον κακόν. Μέ. 304. Ἄνθρωπος εἶ δήπουθεν, ὧν ἐστ' οὐδὲ εἷς ᾧ μὴ κακόν τι γέγονεν ἢ γενήσεται. Φιλή. 108. Ἄλλος ἀναστὰς ἔλεγε τῷδ' ἐναντία, αὐτουργός, οἵπερ καὶ μόνοι σώζουσι γῆν. Εὐ. Ὀρ. 917. Φίλοις ἀληθὴς ἦν φίλος παροῦσί τε καὶ μὴ παροῦσιν, ὧν ἀριθμὸς οὐ πολύς. Εὐ. Ἱκ. 867. — (Δεῖ τινας φίλους ὑπάρχειν, οἷον αὐτὸς δή. Δη. 19, 136.)

A. 5. Wegen ihrer collectiven Bedeutung können auch Wörter wie ἕκαστος, τὶς, πᾶς τις, οὐδείς, ὃς ἄν, ὅστις (ἄν) mit Pluralen in Beziehung stehen, sowohl der Plural auf den Singular bezogen als umgekehrt. Ὅταν ἕκαστος διανοηθῇ ὡς ἄλλος ἔσται ὁ πράσσων, τούτοις εὖ ἴστε ὅτι πᾶσιν ἅμα πάντα ἥκει τὰ χαλεπὰ φερόμενα. Ξε. Κυ. 2, 3, 3. Προςῄει ἑνὶ ἑκάστῳ, οὕςτινας ᾤετο ἕξειν τι δοῦναι. Ξε. ἀν. 7, 3, 16. Ἕκαστον ἐκέλευσε τοῖς καινοῖς ἑαυτῶν θεράπουσιν εἰπεῖν ὅτι ὅστις ἂν αὐτῶν φαίνηται ὄπισθεν, κολασθήσεται. Ξε. Κυ. 5, 2, 1. Ἔφυγον ἐκ τῆς ἀγορᾶς, δεδιότες εἷς ἕκαστος μὴ συλληφθείη. Ἀνδ. 1, 36. Πίστεις ἔδοσαν ἀλλήλοις, νομίζων ἕκαστος τὴν ἐπικουρίαν ταύτην αὑτῷ παρασκευάζειν. Ἰσ. 10, 40. (Τῶν ἑαυτοῦ ἕκαστος καὶ παίδων καὶ οἰκετῶν καὶ χρημάτων ἄρχουσιν. Ξε. Λακ. π. 6, 1.) — Ἑώρα τοὺς ἐπαινουμένους ὑπό τινος ἀντεπαινοῦντας τούτους προθύμως. Ξε. Κυ. 8, 3, 49. Ἄν τι πάθωσι κακόν, λυποῦνται ἐπὶ τούτοις. Ξε. Ἱέρ. 2, 13. Πᾶς τις ὄμνυσιν οἷς ὀφείλων τυγχάνω. Ἀρ. νε. 1135. Δοκεῖς ἄν τι ἔθνος ὅσα κοινῇ ἐπί τι ἔρχεται ἀδίκως πρᾶξαι ἄν τι δύνασθαι, εἰ ἀδικοῖεν ἀλλήλους; Πλ. πολ. 351. Οὐδεὶς ἐκοιμήθη, τοὺς ἀπολωλότας πενθοῦντες. Ξε. Ἑλ. 2, 2, 3. Ταῦθ' ὁρῶντες οἱ Ἕλληνες ἀνέχονται, εὐχόμενοι μὲν μὴ καθ' ἑαυτοὺς ἕκαστοι γενέσθαι, κωλύειν δὲ οὐδεὶς ἐπιχειρῶν. Δη. 9, 33. — Ὃς ἂν κάμνηται τῶν οἰκετῶν, τούτων σοι ἐπιμελητέον πάντων, ὅπως θεραπεύηται. Ξε. οἰκ. 7, 37. Ἀσπάζεται πάντας ᾧ ἂν περιτυγχάνῃ. Πλ. πολ. 566. Βασιλέας πολλοὺς κεκολάκευκεν, ᾧ ἂν συγγένηται. Λυ. 6, 6. — Ὅστις αὐτὸς ἢ φρονεῖν μόνος δοκεῖ ἢ γλῶσσαν ἣν οὐκ ἄλλος ἢ ψυχὴν ἔχειν, οὗτοι διαπτυχθέντες ὤφθησαν κενοί. Σο. Ἀντ. 707. Πολλοῖς παρέστην κἀφθόνησα δὴ βροτῶν, ὅστις κακοῖσιν ἐσθλὸς ὢν ὅμοιος ᾖ. Εὐ. Δικ. 16. (Θαυμάζοντες ἄλλος ἄλλῳ ἔλεγεν. Πλ. συ. 220.)

A. 6. Ueber die Beziehung eines adjectivischen Begriffes auf ein Substantiv das in einem Adjectiv enthalten ist s. § 43, 3, 12. Vgl. Pflugk zu Eur. Herk. 157. Auf ein ὑμέτερος liegendes ὑμεῖς bezieht sich οἵ Xe. Kyr. 5, 2, 15.

§ 59. Parataktik.

1. Parataktisch ist diejenige Verbindung bei welcher Begriffe oder Sätze unabhängig von einander zusammengestellt werden. Dies geschieht entweder syndetisch d. h. durch Hinzufügung von Conjunctionen (*σύνδεσμοι*); oder asyndetisch d. h. durch bloße Zusammenstellung.

A. 1. Im Griechischen waltet bei Weitem mehr als in neueren Sprachen das Streben Begriffe und Sätze durch Conjunctionen zu verbinden und die Rede zu einem wohlgefügten, organischen Ganzen zu gestalten. Asyndeta erscheinen daher regelmäßig nur aus besonderen stilistischen Gründen, namentlich um der Rede mehr Lebhaftigkeit und Eindringlichkeit zu geben oder auch um anzudeuten daß man noch mehreres Aehnliche denken könne. [zu Xe. An. 3,

4, 31 lat. A. vgl. zu 2, 4, 28 deutsche A.] Ἦν ἐν τῷ στρατεύματι πάντα ὁμοῦ ἀκοῦσαι, ὀλοφυρμός, βοή, νικῶντες, κρατούμενοι, ἄλλα ὅσα ἐν μεγάλῳ κινδύνῳ μέγα στρατόπεδον πολυειδῆ ἀναγκάζοιτο φθέγγεσθαι. Θ. 7, 71, 4. Συμβαλόντες τὰς ἀσπίδας ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησκον. Ξε. Ἑλ. 4, 3, 19. Ἀναισχυντοῦσιν, ἀρνοῦνται, ψεύδονται, προφάσεις πλάττονται, πάντα ποιοῦσιν ὑπὲρ τοῦ μὴ δοῦναι δίκην. Δη. 19, 215. Εἴρηκα, ἀκηκόατε, ἔχετε, κρίνατε. Ἀρλ. ῥητ. 3 E.

A. 2. Bloße Verkürzung ist das Asyndeton in ἄνω κάτω neben ἄνω (τε) καὶ κάτω drunter und drüber. Ἀνάτρεψον ἔμπαλιν ἄνω κάτω τὰ πάντα συγχέας ὁμοῦ. Εὐ. Βάκ. 348.

A. 3. Dem Asyndeton gesellt sich oft die Anaphora, eine nachdrucksvolle Wiederholung desselben Wortes, das dann wenigstens im zweiten und den folgenden Sätzen gewöhnlich die erste Stelle einnimmt: ἀναφορὰ ἀσύνδετος. [zu Xe. An. 3, 1, 37 lat. A.] Νῦν αἵδε μ' ἐκσῴζουσιν, αἵδ' ἐμαὶ τροφοί, αἵδ' ἄνδρες, οὐ γυναῖκες, εἰς τὸ συμπονεῖν. Σο. ΟΚ. 1367. Πάντων τῶν πεπραγμένων ἐξέστη, ὧν ἀπήγγειλεν, ὧν ὑπέσχετο, ὧν πεφενάκικε τὴν πόλιν. Δη. 19, 72. — Ἔστιν ἀνθρώπῳ λογισμός, ἔστι καὶ θεῖος λόγος. Ἐπίχαρμος Στ. I. p. LV. Ἔχεις πόλιν, ἔχεις τριήρεις, ἔχεις χρήματα, ἔχεις ἄνδρας τοσούτους. Ξε. ἀν. 7, 1, 21. (Ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς. Αἰ. 3, 202.)

A. 4. Weniger lebhaft als eindringlich erscheint viel häufiger dieselbe Anaphora auch mit μὲν — δέ; bloß mit δέ oft bei Dichtern, selten in der Prosa, wie Her. 1, 114, 1. 5, 26. 7, 10, 6. Hieher gehört auch ἅμα μὲν — ἅμα δέ simul — simul, zugleich — und, theils — theils. [Reg. zu Kr.s Ausgaben u. Anaphora.] Ἀπάτης μὲν μεστὴ ἡ διὰ τῶν ὀμμάτων ὄψις, ἀπάτης δὲ ἡ διὰ τῶν ὤτων. Πλ. Φαιδ. 83. Δεινὴ μὲν ἀλκὴ κυμάτων θαλασσίων, δειναὶ δὲ ποταμοῦ, καὶ πυρὸς θερμαὶ πνοαί, δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα μυρία· ἀλλ' οὐδὲν οὕτω δεινὸν ὡς γυνὴ κακόν. Εὐ. αποσ. ἀδ. 32. Ὁ ἀρετὴν ἔχων πλουτεῖ μὲν ὄντων φίλων, πλουτεῖ δὲ καὶ ἄλλων βουλομένων γενέσθαι. Ξε. ἀν. 7, 7, 42. Γνώμῃ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις, εὖ δ' οἶκος, εἴς τ' αὖ πόλεμον ἰσχύει μέγα. Εὐ. Ἀντιό. 31. — Ζεύς ἐστιν αἰθήρ, Ζεὺς δὲ γῆ, Ζεὺς οὐρανός, Ζεύς τοι τὰ πάντα. Αἰσ. αποσπ. 295. — Τὸ πείθειν οἷόν τ' εἶναι τοῖς λόγοις ἐστὶν αἴτιον ἅμα μὲν ἐλευθερίας αὐτοῖς τοῖς ἀνθρώποις, ἅμα δὲ τοῦ ἄλλων ἄρχειν ἐν τῇ αὑτοῦ πόλει ἑκάστῳ. Πλ. Γο. 452.

A. 5. Asyndeta von Sätzen sind im Allgemeinen bei Dichtern viel häufiger als bei Prosaikern. Kaum als solche zu betrachten sind die Stellen an denen der zweite Satz eine Erklärung oder Erläuterung des ersten enthält, wo freilich oft auch καί oder γάρ anwendbar wäre. [Kr. De auth. p. 57 u. die Reg. zu Kr.s Ausgaben u. Asyndeton.] Ἄφαι τῶν ἔργων, ἐπίδειξον ἡμῖν ὅ, τι λέγεις. Αἰ. 3, 237. Τετόλμηται, δέδοται τὸ σῶμα τῷ κινδύνῳ. Αἰ. 2, 182. — Εἰμί τις γελοῖος ἰατρός· ἰώμενος μεῖζον τὸ νόσημα ποιῶ. Πλ. Πρω. 340. Ἐλπίδα χρὴ ἔχειν· ἤδη τινὲς καὶ ἐκ δεινοτέρων ἢ τοιῶνδε ἐσώθησαν. Θ. 7, 77, 1. — Τοῦτο ἐξ ἀνάγκης αὐτῷ συμβαίνει. Λογίζεσθε γάρ· ἄρχειν βούλεται, τούτου δ' ἀνταγωνιστὰς μόνους ὑπείληφεν ὑμᾶς˙, ἀδικεῖ πολὺν ἤδη χρόνον, καὶ τοῦτο αὐτὸς ἄριστα σύνοιδεν ἑαυτῷ. Δη. 6, 17. — Αἱ ἄλλαι τέχναι οὕτως ἔχουσιν· ἑκάστη αὐτῶν περὶ λόγους ἐστὶ τούτους οἳ τυγχάνουσιν ὄντες περὶ τὸ πρᾶγμα οὗ ἑκάστη ἐστὶν ἡ τέχνη. Πλ. Γο. 450. Ἆρ' οἱ κόσμιοι οὐ (ταὐτὸν) τοῦτο πεπόνθασιν; ἀκολασίᾳ τινὶ σώφρονές εἰσιν; Πλ. Φαίδ. 68. Ὅπως μὴ ποιήσετε ὃ πολλάκις ὑμᾶς ἔβλαψεν· πάντ' ἐλάττω νομίζοντες εἶναι τοῦ δέοντος ἐπὶ τῷ πράττειν οὐδὲ τὰ μικρὰ ποιεῖτε. Δη. 4, 20. Ἐν τοῖς λόγοις ἀεὶ τοιοῦτος εἶ· σαυτῷ τε καὶ τοῖς ἄλλοις ἀγριαίνεις πλὴν Σωκράτους. Πλ. συ. 173. Μία ἀρχὴ τοῖς μέλλουσι καλῶς βουλεύεσθαι· εἰδέναι δεῖ περὶ οὗ ἂν ᾖ ἡ βουλὴ ἢ παντὸς ἁμαρτάνειν ἀνάγκη. Πλ. Φαῖδρ. 237. z. Th. 2, 60, 3. 6, 11, 4.] — (Ὦ παῖ σιώπα· πόλλ' ἔχει σιγὴ καλά. Σο. ἀποσ. 102. Μὴ πάντ' ἐ-

ρεύνα· πολλὰ καὶ λαθεῖν καλόν. Σο. ἀποσ. 104. Μὴ πλοῦτον εἴπῃς· οὐχὶ θαυμάζω θεόν, ὃν χὼ (καὶ ὁ) κάκιστος ῥᾳδίως ἐκτήσατο. Εὐ. Αἰο. 5. Μεταδίδου παῤῥησίας· βέλτιστον τοῦτο δοῦλον ποιήσει πολύ. Μέ. 359.) Vgl. § 54, 1, 2.

A. 6. Aehnlich finden sich **appositiv** selbst der Conjunctiv und Optativ; über den Infinitiv § 57, 10, 8. Κτῆσαι Μυκήνας μηδ', ὅπερ φιλεῖτε δρᾶν, πάθῃς σὺ τοῦτο, τοὺς ἀμείνονας παρὸν φίλους ἑλέσθαι τοὺς κακίονας **λάβῃς**. Εὐ. Ἡρ. 177. Φυλακτέον μὴ τοιοῦτον ἡμῖν οἱ ἐπίκουροι ποιήσωσι, ἀντὶ ξυμμάχων εὐμενῶν δεσπόταις ἀγρίοις **ἀφομοιωθῶσιν**. Πλ. πολ. 416. Οὐκ εὔκολος γίγνοιτ' ἂν ὁ κατοικισμὸς ταῖς πόλεσιν, ὅταν μὴ τὸν τῶν ἐσμῶν γίγνηται τρόπον, ἓν γένος ἀπὸ μιᾶς ἰὸν χώρας **οἰκίζηται**. Πλ. νό. 708. — Ὡς οἱ ἐπιτηδεύοντες ἀδυναμίᾳ τοῦ ἀδικεῖν ἄκοντες αὐτὸ ἐπιτηδεύουσι, μάλιστ' ἂν αἰσθοίμεθα, εἰ τοιόνδε ποιήσαιμεν τῇ διανοίᾳ, δόντες ἐξουσίαν ἑκατέρῳ ποιεῖν ὅ, τι ἂν βούληται, τῷ τε δικαίῳ καὶ τῷ ἀδίκῳ, εἶτ' **ἐπακολουθήσαιμεν** θεώμενοι ποῖ ἡ ἐπιθυμία ἑκάτερον ἄξει. Πλ. πολ. 359. Δημοφῶντι τὰ δύο τάλαντα καρποῦσθαι ἔδωκεν, ἵνα δυοῖν θάτερον διαπράξαιτο, ἢ διὰ τὰ διδόμενα βελτίους αὐτοὺς εἶναι **προτρέψειεν**, ἢ εἰ κακοὶ γίγνοιντο, μηδεμιᾶς συγγνώμης παρ' ὑμῶν **τυγχάνοιεν**. Δη. 27, 45.

(A. 7. Auffallend folgt auf den Indicativ statt eines epexegetischen Indicativs zuweilen ein **Particip**. Σχεδόν τι οὕτω διεκείμεθα, ποτὲ μὲν **γελῶντες**, ἐνίοτε δὲ **δακρύοντες**. Πλ. Φαίδ. 59. (Δῆμος ὧδ' ἂν ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο, μήτε λίαν **ἀνεθεὶς** μήτε **πιεζόμενος**. Σόλων 6.) Τούτου ἕνεκα ταύτην ἐποιησάμην τὴν ὑπόθεσιν, **ἡγούμενος** ἐκ τοῦ παραινεῖν τήν τε διάνοιαν τὴν ἐκείνου μάλιστ' ὠφελήσειν καὶ τὸν τρόπον τὸν ἐμαυτοῦ τάχιστα δηλώσειν. Ἰσ. 15, 69. Vgl. z. Her. 7, 10, 7 u. z. Th. 3, 18, 2.)

A. 8. Aehnlich wie A. 5 findet sich das Asyndeton bei lebhaften **Aufforderungen** und **Versicherungen**. Ἱκετεύω ὦ πάππε, δός μοι ἄρξαι αὐτοῦ. Ξε. Κυ. 1, 3, 11. Ἀποκτείνατέ με, οὐ παραιτοῦμαι. Ἀνδ. 1, 32. Τίνι ἐμποδών εἰμι; παρίημι, ἀρχέτω, μόνον ἀγαθόν τι ποιῶν ὑμᾶς φαινέσθω. Ξε. ἀν. 5, 7, 10. Ἑκών, ἑκὼν ἥμαρτον, οὐκ ἀρνήσομαι. Αἰσ. Προ. 266. Ἥξεις, ἐπείγου μηδέν, εἰς τὸ μόρσιμον. Σο. ἀποσ. 690.

A. 9. Zwei Sätze unverbunden schroff neben einander gestellt können der erste einen gesetzten Fall, der zweite eine eventuelle Folge ausdrücken. Vgl. § 54, 1, 1. Ἢν λάβῃ μηδὲν φερομένην, δοῦλος αὐτὸς γίγνεται. ἀλλ' ἔλαβεν αἰσχράν· οὐ βιωτόν ἐστ' ἔτι. ἀλλ' ἔλαβεν ὡραίαν τις· οὐδὲν γίγνεται μᾶλλόν τι τοῦ γήμαντος ἢ τῶν γειτόνων. Ἀναξανδρ. 52. Anders Dem. 19, 221.

A. 10. Ein Gegensatz mit οὔ kann asyndetisch eintreten. Weniger scharf ist ἀλλ' οὔ, neben dem sich auch das nur ablehnende καὶ οὔ findet. Τὸ συνετὸν θεὸς δίδωσιν, οὐχ ὁ πλοῦτος. Εὐ. Ἀλεξ. 16. Ὁ [μὲν] εἰς τὸν ἀσθενῆ τι Πάμφιλε ποιῶν ὑβρίζειν, οὐχ ἁμαρτάνειν δοκεῖ. Φιλιππίδης 27. Τῶν κακῶν ἄλλ' ἄττα δεῖ ζητεῖν τὰ αἴτια, ἀλλ' οὐ τὸν θεόν. Πλ. πολ. 379. Ἱστοὶ γυναικῶν ἔργα κοὐκ ἐκκλησίαι. Μέ. μο. 260.

A. 11. Wenn man das Vorhergehende zusammenfaßt, um etwas Neues anzuknüpfen, gebraucht man statt des gewöhnlichen μὲν οὖν oft bloß μέν, wie Thuk. 1, 55, 1. 110, 2. 2, 102, 5. [vgl. Reg. z. Th. u. μέν.] Statt durch δέ etwas anzuknüpfen stellt Xenophon ohne Conjunction das Verbum voran. An. 5, 6, 25. 7, 3, 32. 6, 40; deßgleichen 3, 4, 42. 4, 1, 20. 8, 6, 7 u. a. Mehr Nachweisungen dort im Register unter Asyndeton. Vgl. Kr. Stud. 2 S. 113.

2. Parataktisch **angefügt** werden Begriffe und Sätze durch **copulative** und **adversative** Conjunctionen, wie *καί*, (*τέ*), *οὐδέ*, *μηδέ*; *καὶ—καί*, *τὲ* (—) *καί*, *τέ—τέ*; *εἴτε—εἴτε*, *οὔτε—οὔτε*, *μήτε—μήτε*; *οὔτε—τέ*, *μήτε—τέ*; (*μὲν*—) *δέ*, *ἀλλά*, *μέντοι*; *ἤ* **oder**, *ἢ—ἤ* **entweder—oder** rc.

A. 1. Ueber die Bedeutung dieser Partikeln einzeln unten § 69; hier nur über mehr oder weniger Gemeinsames eigenthümlicher Verbindungen. Zwar verbindet auch der Grieche gew. nur Gleichartiges; doch weniger servil als wir findet er mehrfach Verbindungen die uns als Mißverhältnisse erscheinen würden ganz naturgemäß, zumal wenn das Verbundene nur äußerlich, in der Form, verschieden ist.

A. 2. Ueber die Verbindung verschiedener Casus von Participien § 56, 14, 2. (Sonst ist diese Verbindung selten. So auch die eines bloßen Casus mit einer Präposition und ihrem Substantiv.) Κρήνη ἡδέος ὕδατος καὶ ἀφθόνος ῥεῖ ἐπ' αὐτῇ τῇ θαλάττῃ. Ξε. ἀν. 6, 2, 4. — Ἀπεκρίνατο διὰ βραχέων τε καὶ αὐτὰ τὰ ἐρωτώμενα. Πλ. Πρω. 336. Τριάκοντα ναῦς ἐξέπεμψαν περὶ τὴν Λοκρίδα καὶ Εὐβοίας ἅμα φυλακήν. Θ. 2, 26, 1.

A. 3. Leicht verbinden sich verschiedene Wortarten die sinnähnliche Verhältnisse bezeichnen. [Reg. z. Th. u. Her. u. Verbindung.] Ὦ παγκακίστη καὶ γυνή. Εὐ. Βελ. 12. Λόγοισι συμβὰς καὶ θεῶν ἀνώμοτος φίλος γένοιτ' ἄν. Εὐ. Μήδ. 737. Παρεπεπλεύκεσαν τοῖς ἐν τῷ ὄρει τιμωροὶ καὶ νομίζοντες κατασχήσειν ῥᾳδίως τὰ πράγματα. Θ. 4, 2, 2. — Παρῆλθε βαλλόμενός τε καὶ χαλεπῶς. Θ. 1, 63, 1. Καλῶς καὶ ἀληθῆ λέγεις. Πλ. Φαίδ. 79. [z. Th. 8, 48, 6.] Ἐβλασφήμει κατ' ἐμοῦ ταχὺ καὶ πολλὰ καὶ μεγάλῃ τῇ φωνῇ. Δη. 57, 11. Ἀφυλάκτοις τε καὶ ἐξαίφνης ἐπιγενόμενοι διέφθειραν. Θ. 7, 32, 2. Οἱ ἵπποι ἀπεχωλοῦντο ἐν γῇ ἀποκρότῳ τε καὶ ξυνεχῶς ταλαιπωροῦντες. Θ. 7, 27, 4. Προσπίπτει ἄφνω τε καὶ νυκτός. Θ. 3, 30, 2. — Πρῴ ἐσβαλόντες καὶ τοῦ σίτου ἔτι χλωροῦ ὄντος ἐσπάνιζον τροφῆς. Θ. 4, 6, 2. Ἅμα τῷ τειχισμῷ καὶ τοῦ ἦρος εὐθὺς ἀρχομένου ναῦς ἔστειλαν. Θ. 7, 20, 1. Ἐποιήσαντο τὴν ξυμμαχίαν τοῦ χειμῶνος τελευτῶντος ἤδη καὶ πρὸς ἔαρ. Θ. 5, 39, 2. — Πολλῷ θορύβῳ καὶ πεφοβημένοι παρεσκευάζοντο. Θ. 3, 77, 1. [vgl. 3, 58, 3. 4, 18, l. 69, 3.] Διὰ πολλοῦ θορύβου καὶ ἄσιτοι οἱ πλείους ἀντανήγοντο. Θ. 7, 40, 3. Ἀπό τε τῆς χώρας ἐτρέφοντο καὶ ἐργαζόμενοι μισθοῦ. Ξε. Ἑλ. 2, 1, 1. [vgl. Th. 3, 25, 2. 4, 26, 3.] Ἀδύνατοι ἦσαν ἀποβῆναι τῶν τε χωρίων χαλεπότητι καὶ τῶν Ἀθηναίων μενόντων. Θ. 4, 12, 2. Ἐγένετο πλούσιος οὐκ ἀπὸ τοῦ αὐτομάτου οὐδὲ δόντος τινός. Πλ. Μέν. 90. — Ἀθηναῖοι ἐψηφίσαντο ναῦς ἑξήκοντα πέμπειν ἐς Σικελίαν καὶ στρατηγούς, βοηθοὺς μὲν Ἐγεσταίοις πρὸς Σελινουντίους, ξυγκατοικίσαι δὲ καὶ Λεοντίνους. Θ. mit d. A. 6, 8, 2 vgl. zu 5, 9, 7. — Ἀπέφαινε πολλὴν εὐπορίαν καὶ φύσει καρτερὸν ὂν τὸ χωρίον. Θ. 4, 3, 2. [vgl. 3, 36, 1.] Ἐπαινούμενοι μᾶλλον ἢ τοῖς ἄλλοις ἅπασι χαίρετε. Ξε. Κυ. 1, 5, 13. Οὐ ναυτικῆς στρατιᾶς μόνον δεῖ, ἀλλὰ καὶ πεζὸν πολὺν ξυμπλεῖν. Θ. 6, 21, 1. Ὁ Πεδάριτος αὐτός τε καὶ τὸ στράτευμα ἔχων προσέβαλε τῷ ἐρύματι. Θ. 8, 55, 3. Παρεβοήθει μετά τε τοξοτῶν οὐ πολλῶν καὶ τοὺς Ἀργείους παραλαβών. Θ. 6, 101, 5. [zu 1, 26, 3.]

A. 4. Einem Casus wird zuweilen ein Satz angeschlossen. Τὸ γνῶθι σαυτόν ἐστιν ἂν τὰ πράγματα ἴδῃς [εἰδῇς Cobet] τὰ σαυτοῦ καὶ τί σοι ποιητέον. Μέ. 293. Δεῖξον τὸ ψήφισμα καὶ τίνες ἐγένοντό μου κατήγοροι. Δείν. 1, 51. Vgl. § 51, 13, 5 u. Th. 6, 63, 3. — Οἱ κιθαρισταὶ σωφροσύνης τε ἐπιμελοῦνται καὶ ὅπως ἂν οἱ νέοι μηδὲν κακουργῶσιν. Πλ. Πρω. 326. Ἔδεισε περί τε τοῖς ἐν Νισαίᾳ Πελοποννησίοις καὶ μὴ τὰ Μέγαρα ληφθῇ. Θ. 4, 70, 1. — Ἐπιμέλειαν ἕξομεν τῶν πρὸς τὰς πόλεις διαπομπῶν ἅμα ἔς τε κατασκοπὴν καὶ ἤν τι ἄλλο φαίνηται ἐπιτήδειον. Θ. 6, 41, 2. — Ἐναυμάχησαν ἀντίπαλα καὶ ὡς αὐτοὺς ἑκατέρους ἀξιοῦν νικᾶν. Θ. 7, 34, 5. — Ἀρετὴ μισθοὺς τῇ ψυχῇ παρέχει ζῶντός τε τοῦ ἀνθρώπου καὶ ἐπειδὰν τελευτήσῃ. Πλ. πολ. 612. [Παρεσκευάζοντο ὥσπερ τε προεδέδοκτο καὶ τῶν Συρακοσίων ἐναγόντων. Θ. 7, 18, 1. [vgl. z. Th. 6, 72, 4]

A. 5. Leicht schließt sich auch einem Particip ein sinnverwandter Satz an. Δοκεῖ σοι εὐδαίμων εἶναι ἄνθρωπος δουλεύων τε καὶ ᾧ μηδὲν ἐξείη

ποιεῖν ὧν ἐπιθυμοῖ; Πλ. Λυ. 207. Ἀθηναῖοι ἐβούλοντο ἐπὶ Σικελίαν πλεύσαντες καταστρέψασθαι, ἄπειροι οἱ πολλοὶ ὄντες τοῦ μεγέθους τῆς νήσου καὶ ὅτι οὐ πολλῷ τινι ὑποδεέστερον πόλεμον ἀνῃροῦντο ἢ τὸν πρὸς Πελοποννησίους. Θ. 6, 1. [vgl. 4, 126, 1.] [Ἀνελόμενοι τὰ ναυάγια καὶ ὅτι αὐτοῖς οὐκ ἀντέπλεον, διὰ ταῦτα τροπαῖον ἔστησαν. Θ. 1, 54, 4.] Διέβη ναῦς ξυλλέξων καὶ ὅπως ἄλλαι ναυπηγηθείησαν. Ξε. Ἑλ. 1, 3, 17. [z. Th. 1, 73, 1 vgl. 4, 86, 1. 5, 83, 4.] Häufig verband man einen Casus und Sätze mit εἴ τις, wie Th. 3, 21, 1. 35. 4, 69, 3. 128, 3. 5, 3, 3. 6, 32, 2, relative und hypothetische Sätze zu 1, 144, 3.

A. 6. Einem relativen Satze wird zuweilen ein selbständiger angefügt, was auch Göthe u. A. sich öfter erlauben, während man sonst bei einer solchen Verbindung lieber wie auch, während u. ä. gebraucht. [zu Xe. An. 1, 1, 2. vgl. z. Th. 6, 11, 1.] Οὐκ ἤδη ἀνέγκλητος ἂν δικαίως εἴης ἐν τῇ πατρίδι, ᾗ σε τιμᾷ καὶ σὺ πράττεις τὰ κράτιστα. Ξε. Ἑλ. 6, 1, 13. — Ἐγὼ ἤδη σοι λέγω ὅτι ἣν ἄλλοι τε μακαριωτάτην ἐνόμιζον εἶναι βιοτὴν καὶ ἐγὼ συνεγίγνωσκον αὐτοῖς, ταύτην καὶ ἐγὼ νῦν ἔχων διάξω. Ξε. Κυ. 7, 2, 27. — Ἀνόητον ἐπὶ τοιούτους ἰέναι ὧν κρατήσας τε μὴ κατασχήσει τις καὶ μὴ κατορθώσας μὴ ἐν τῷ ὁμοίῳ καὶ πρὶν ἐπιχειρῆσαι ἔσται. Θ. 6, 11, 1. — (Δαρεῖον Κῦρος μεταπέμπεται ἀπὸ τῆς ἀρχῆς ἧς αὐτὸν σατράπην ἐποίησε καὶ στρατηγὸν δὲ αὐτὸν ἀπέδειξε πάντων ὅσοι εἰς Καστωλοῦ πεδίον ἀθροίζονται. Ξε. ἀν. 1, 1, 2.) — Κακίᾳ τινὶ καὶ ἀνανδρίᾳ τῇ ἡμετέρᾳ διαπεφευγέναι ἡμᾶς δοκεῖ (τὸ πρᾶγμα), οἵτινές σε οὐχὶ ἐσώσαμεν οὐδὲ σὺ σαυτόν. Πλ. Κρίτ. 45. — (Οὐδὲν προςδεόμεθα ἐπαινέτου ὅστις ἔπεσι μὲν τὸ αὐτίκα τέρψει, τῶν δ' ἔργων τὴν ὑπόνοιαν ἡ ἀλήθεια βλάψει. Θ. 2, 41, 2. vgl. Lys. 14, 17.)

A. 7. Von selbst versteht es sich daß man verschiedene Tempora und Modi verband, wenn es sinngemäß war. Οὐ πειθόμεθα αὐτοῖς ἀμφότερα, ἀλλ' εἰ θεοῦ ἦν, οὐκ ἦν, φήσομεν, αἰσχροκερδής. Πλ. πολ. 408. Πολλάκις ἔβλαψε δόξα μεγάλα τ' εἴργασται κακά. Εὐ. Μήδ. 293. Ἰδοῦσα ἔσχον θαῦμα καὶ περισκοπῶ. Σο. Ἠλ. 897. Vgl. § 53, 2. — Ἐγὼ ἐσκέφθαι φημὶ καὶ οὐκ ἂν ἀρνηθείην. Δη. 21, 191. Σὺ μήτ' ἀποτρέπου τἀληθὲς οὔτε κατατενῶ λίαν ἐγώ. Εὐ. Ἰφ. Α. 336. Οὐ κακὸν ἔχω μηδ' ἔχοιμι. Ἀντιφάνης 176, 2. Ἐγὼ ἀναιδὴς οὔτ' εἰμὶ μήτε γενοίμην. Δη. 8, 68. Vgl. z. Th. 1, 131, 2. 2, 44, 1. 3, 113, 2. Kr. z. Dion. p. XLVII u. § 54, 8, 2.

A. 8. Leicht ist in manchen Verbindungen der Uebergang von einem Infinitiv zu einem selbständigen Satze. Λείπουσιν οἱ βάρβαροι ἀμαχητὶ τὸν μαστόν, ὥστε θαυμαστὸν πᾶσι γενέσθαι, καὶ ὑπώπτευον δεῖσαι αὐτούς. Ξε. ἀν. 4, 2, 15. Τὰ ἐπιτήδεια ἀνακεκομισμένοι ἦσαν, ὥστε μηδὲν αὐτόθεν λαμβάνειν τοὺς Ἕλληνας, ἀλλὰ διετράφησαν τοῖς κτήνεσιν ἃ ἐκ τῶν Ταόχων ἔλαβον. Ξε. ἀν. 4, 7, 17. Ξυνέβη ὥστε πολέμου μὲν μηδὲν ἔτι ἅψασθαι μηδετέρους, πρὸς δὲ τὴν εἰρήνην μᾶλλον τὴν γνώμην εἶχον. Θ. 5, 14, 1. [zu 2, 47, 2. vgl. 8, 5, 2.]

(A. 9. Auffallender sind manche Uebergänge von einem Particip zu einem bestimmten Verbum. [z. Th. 1, 57, 2.] Νόσῳ ἐπιέζοντο κατ' ἀμφότερα, τῆς τε ὥρας τοῦ ἐνιαυτοῦ ταύτης οὔσης ἐν ᾗ ἀσθενοῦσιν ἄνθρωποι μάλιστα καὶ τὸ χωρίον ἅμα ἐν ᾧ ἐστρατοπεδεύοντο ἑλῶδες καὶ χαλεπὸν ἦν. Θ. 7, 47, 2. Παρῆν ὁ Γαδάτας ἄλλα τε δῶρα πολλὰ καὶ παντοῖα φέρων καὶ ἄγων, ὡς ἂν ἐξ οἴκου μεγάλου, καὶ ἵππους δὲ ἦγεν. Ξε. Κυ. 5, 4, 29.)

A. 10. Von der Construction mit ὅτι oder ὡς daß geht man zuweilen zu der mit dem Infinitiv über; selten umgekehrt. Ἐσηγγέλθη αὐτοῖς ὡς εἴη Ἀπόλλωνος ἔξω τῆς πόλεως ἑορτή, καὶ ἐλπίδα εἶναι ἐπειχθέντας ἐπιπεσεῖν ἄφνω. Θ. 3, 3, 3. Ἔλεγε τοῖς προέδροις ὅτι ἐσβολὴ ἐς τὴν Ἀττικὴν ἔσται· προαποπεμφθῆναί τε αὐτὸς τούτων ἕνεκα. Θ. 8, 25. Vgl. Lysias 10, 15. [Διεβόων ὡς φθείρεται τὰ πράγματα· τὸν δ' αὖ Τισσαφέρνην τάς τε ναῦς οὐ κομίζειν καὶ ὅτι κακοῖ τὸ ναυτικόν. Θ. 8, 78, 2 u. dort die A.]

§ 60. Ptotik.

1. Als Subject des Satzes steht der Nominativ vgl. § 45, 2; der Accusativ beim Infinitiv gew. nur dann wenn es ein von dem Subject des Hauptverbums verschiedener Begriff ist. Vgl. § 55, 2 mit den A.

A. 1. Ueber eigenthümliche Erscheinungen des No. § 45, 2, 1—4 und § 56, 9, 4.

A. 2. Ueber die Form des No. für die des Vo. § 45, 2, 5.

2. Das Prädicat steht in demselben Casus in welchem das Nomen von dem es ausgesagt wird steht oder stehen müßte.

A. 1. Es kann nämlich jenes Nomen oft fehlen, besonders beim Infinitiv nach § 55, 2, 4 u. 6 vgl. § 51, 6, 3 u. 4.

A. 2. Ueber den No. und Ac. bei ὄνομά ἐστιν ἐμοί § 48, 3, 6. Ueber den Prädicativsgenitiv § 57, 3, 1. 3 u. 4; beim absoluten Ge. § 47, 4; über den prädicativen Ge. § 47, 6 vgl. eb. 8 A. 2 u. 9 A. 2.

A. 3. Selbst numerische Begriffe mit oder ohne Substantiv können sich, statt im Ge. zu stehen, ihrem Nomen im Casus assimiliren vgl. § 47, 8, 2. Nothwendig ist diese Assimilation in dem Falle § 47, 28, 4. vgl. 50, 11, 1 u. 57, 3. Ἡ τάξις ἦν ἑκατὸν ἄνδρες. Ξε. Κυ. 2, 1, 25. Τὸ ὁπλιτικὸν ἠθροίσθη δισχίλιοι. Θ. 5, 6, 4. (Οἱ Ἀρκάδες παρῆσαν πολλοὶ ὁπλῖται. Ξε. Ἑλ. 6, 5, 16.) Φόρον τέσσαρα τάλαντα ἔφερον. Θ. 4, 57, 4. 2, 13, 3. Ξέρξης ἔστειλε πεντήκοντα μυριάδας στρατιάν. Λυ. 2, 21. [vgl. Xe. An. 3, 5, 16.] (Τάφρος ἦν ὀρυκτὴ βαθεῖα, τὸ εὖρος ὀργυιαὶ πέντε. Ξε. ἀν. 1, 7, 14. vgl. An. 4, 5, 4. vgl. Lex. zu Xen. An. in εὖρος.)

3. Das Object bestimmen die Regeln § 46—48.

A. 1. Ueber die Abweichung durch Assimilation § 51, 10 u. 12.

A. 2. Was rücksichtlich der Rection von Simplicien bemerkt ist gilt auch von Compositen, so weit es nicht ausdrücklich beschränkt worden. Also z. B. wie φεύγειν τινά so auch ἀποφεύγειν τινά ꝛc. Ueber die Casusbestimmungen durch Präpositionen s. unter diesen § 68.

4. Zu mehrern Verben gehörige Substantive oder Pronomina werden bei etwaniger Verschiedenheit der bezüglichen Verhältnisse dem nächsten Verbum angefügt, oft auch da wo dieses eben nicht übergewichtliche Bedeutung hat.

[A. 1. Selten zur Erscheinung kommt die Regel, wenn das Nomen Ein Mal im No., dann in einem obliquen Casus erforderlich ist. Ἡμεῖς εἰ μέλλομεν τούτους εἴργειν, σφενδονητῶν τὴν ταχίστην δεῖ (erg. ἡμῖν). Ξε. ἀν. 3, 3, 16 u. 2, 5, 41.]

[A. 2. Noch auffallender richtet sich sogar nach einem parenthesenartigen Satze mit γάρ ein vorangehendes Nomen, wenn es dem Begriffe nach diesem mit angehört, auch in der Construction nach demselben, statt sich dem Hauptsatze anzufügen. Ein Sprachgebrauch der sich jedoch auf den Ionismos und einige Stellen des Thuk. beschränkt. (z. Th. 1, 72, 1.) Τῶν Σαμίων ἦσαν γάρ τινες οἳ οὐχ ὑπέμειναν, ξυνθέμενοι ξυμμαχίαν διέβησαν ὑπὸ νύκτα ἐς Σάμον. Θ. 1, 115, 4.]

5. Wenn zwei verbundene Verba ein gemeinsames Object haben, so setzt es der Grieche auch dann wenn beide verschiedene Casus regieren, regelmäßig nur ein Mal, gewöhnlich in dem Casus welchen das zunächst stehende Verbum erfordert. [Kr. z. Dion. p. 119. vgl. p. 17.]

A. 1. So bei einer Verbindung durch καί, οὐδέ, οὔτε — οὔτε. (Ἐνδεής ἐστι καὶ οὐκ ἔχει ὁ Ἔρως κάλλος. Πλ. συ. 201.) — Πρὸς τοὺς ἐπιπλήττοντας καὶ νουθετοῦντας ὑμᾶς οὕτω διατίθεσθε δυςκόλως ὥσπερ πρὸς τοὺς κακόν τι τὴν πόλιν ἐργαζομένους. Ἰσ. 8, 14. Φαίνεται ὁ δῆμος ταῖς ἄλλαις πολιτείαις μαχόμενος καὶ καταλύων. Ἰσ. Παναθ. 148. — Οὐ δεῖ τοῖς παιδοτρίβαις ἐγκαλεῖν οὐδ' ἐκβάλλειν ἐκ τῶν πόλεων. Πλ. Γό. 460. — Οὐχ ἑώρακα Πρωταγόραν πώποτε οὐδ' ἀκήκοα οὐδέν (erg. αὐτοῦ). Πλ. Πρω. 310. Διέγνωκας ὅτι πάντως συνεστέον Πρωταγόρᾳ, ὃν οὔτε γιγνώσκεις οὔτε διείλεξαι οὐδεπώποτε, σοφιστὴν δ' ὀνομάζεις. Πλ. Πρω. 313. Ἵππον οὐκ ἂν οἰηθεῖμεν ὃν οὔθ' ὁρῶμεν οὔθ' ἁπτόμεθα. Πλ. Θε. 195.

A. 2. Am häufigsten erscheint die Regel bei Verbindung eines Particips und seines bestimmten Verbums. Ἀνόητον ἐπὶ τοιούτους ἰέναι ὧν κρατήσας μὴ κατασχήσει τις. Θ. 6, 11, 1. (Λύπη οὗ ἂν ἐθὰς γενόμενος ἀφαιρεθῇ τις. Θ. 2, 44, 2.) Τοῖς θεοῖσι χρὴ θύοντας αἰτεῖν τἀγαθά, μαντείας δ' ἐᾶν. Εὐ. Ἑλ. 754. Τεθνηκόσιν ἔλεγεν, οἷς οὐδὲ τρὶς λέγοντες ἐξικνούμεθα. Ἀρ. βά. 1175. Τὰ τῶν θεῶν ἔχοντες ἐπιμελούμεθα. Εὐ. Φοί. 556.

A. 3. Doch kann auch das entferntere Verbum, wenn es bedeutsamer ist, den Casus des gemeinsamen Objects bestimmen; dies selbst bei einer Verbindung mit καί oder μὲν—δέ. Βάλλειν δεήσει ἀναιρουμένους ταῖς βώλοις. Ξε. Κυ. 2, 3, 17. — Ἐγὼ ὑμᾶς ἐγείρων καὶ πείθων καὶ ὀνειδίζων ἕνα ἕκαστον οὐδὲν παύομαι. Πλ. ἀπ. 30. Πᾶς πάντα καὶ διεδίδασκε καὶ ἐπέπληττε τὸν μὴ καλῶς αὐλοῦντα. Πλ. Πρω. 327. — Ἐπιτιμᾷ καὶ ἀποδοκιμάζει τῶν ἀρχόντων τισίν. Λυ. 6, 33. Ἀντεῖπον καὶ ἐλοιδόρησα ἐκείνῳ ὧν ἦν ἄξιος. Ἀνδ. 1, 67. — Φαίνεται ἡ ψυχὴ τὰ μὲν ἀπειλοῦσα, τὰ δὲ νουθετοῦσα ταῖς ἐπιθυμίαις. Πλ. Φαίδ. 94. [Vgl. Pflugk zu Eur. Herakl. 227 u. Lobeck zu Soph. Ai. 476 S. 268.]

A. 4. Von selbst versteht es sich daß, wenn die verbundenen Verba denselben Casus regieren, das gemeinsame Object nur Ein Mal gesetzt wird. Ἐν φρονίμοις περὶ τῶν μεγίστων τἀληθῆ εἰδότα λέγειν ἀσφαλές. Πλ. πολ. 450. Ἡ τοῦ σώματος νοσοτροφία ἀπείργουσα αὐτὸν τῶν πολιτικῶν κατέχει. Πλ. πολ. 496.

A. 5. Auch von einer Präposition regiert kann ein Nomen als Object (als bloßer Ac.) zu einem Verbum mit gehören. [z. Th. 1, 114, 1.] Μέρος τι πέμψας πρὸς τὸ φρούριον αἱρεῖ. Θ. 7, 3, 4. Οὐδὲν φροντίζει ἐξ ὁποίων ἄν τις ἐπιτηδευμάτων ἐπὶ τὰ πολιτικὰ ἰὼν πράττῃ. Πλ. πολ. 558.

A. 6. Ueber relative und interrogative Objecte § 51, 9, 2. 17 A. 4 ff.

6. Wenn einem relativen Satze ein zweiter durch eine copulative oder adversative Conjunction angeschlossen wird, so pflegt man das Relativ bei diesem nicht zu wiederholen; sondern läßt es entweder ergänzen oder dafür ein entsprechendes demonstratives oder erforderlichen Falls ein persönliches Pronomen eintreten. *Ἆρα μετ' ἐκείνου ἡμῖν βιωτὸν διεφθαρμένου ᾧ τὸ ἄδικον μὲν λωβᾶται, τὸ δὲ δίκαιον ὀνίνησιν; Πλ. Κρίτ.* 47.

A. 1. Am regelmäßigsten ist die Auslassung, wenn ein No. zum zweiten Satze erforderlich wäre. Δοκεῖ τοῖς πολλοῖς ἀνθρώποις ᾧ μηδὲν ἡδὺ τῶν τοιούτων μηδὲ μετέχει αὐτῶν οὐκ ἄξιον εἶναι ζῆν. Πλ. Φαίδ. 65. Τούτοις ἅπασιν ἐκεῖνοι οἷς τι μέλει τῆς αὑτῶν ψυχῆς, ἀλλὰ μὴ σώματα πλάττοντες ζῶσι χαίρειν εἰπόντες οὐ κατὰ ταὐτὰ πορεύονται αὐτοῖς. Πλ. Φαίδ. 82. — Ἡμᾶς, οἷς κηδεμὼν μὲν οὐδεὶς πάρεστιν, ἐστρατεύσαμεν δ' ἐπ' αὐτόν, τί ἂν οἰόμεθα παθεῖν; Ξε. ἀν. 3, 1, 17.

A. 2. Als obliquer Casus wird beim zweiten Satze das persönliche Pronomen nothwendig, das demonstrative (gew. ein Casus von αὐτός), wenn die Deutlichkeit es erfordert, gesetzt. Οἰκία πολὺ μείζων ἡ ὑμετέρα τῆς ἐμῆς, οἷ γε οἰκίᾳ μὲν χρῆσθε γῇ τε καὶ οὐρανῷ, κλῖναι δ' ὑμῖν εἰσιν ὁπόσαι γένοιντ' ἂν εὐναὶ ἐπὶ τῆς γῆς. Ξε. Κυ. 5, 2, 15. Καὶ νῦν τί χρὴ δρᾶν,

ὅστις ἐμφανῶς θεοῖς ἐχθαίρομαι, μισεῖ δέ μ' Ἑλλήνων στρατός; Σο. Αἴ. 457. — Ὅστις λέγει μὲν εὖ, τὰ δ' ἔργ' ἐφ' οἷς λέγει αἴσχρ' ἐστὶν αὐτοῦ, τοῦτον οὐκ αἰνῶ ποτε. Εὐ. Παλ. 6. Φήσουσί τινές με διεξιέναι τοὺς νόμους οὓς Λυκοῦργος μὲν ἔθηκε, Σπαρτιᾶται δ' αὐτοῖς χρώμενοι τυγχάνουσιν. Ἰσ. 12, 152. Οὐκ ἐπιτρέψομεν ὧν φαμεν κήδεσθαι καὶ δεῖν αὐτοὺς ἄνδρας ἀγαθοὺς γενέσθαι γυναῖκα μιμεῖσθαι ἄνδρας ὄντας. Πλ. πολ. 395. — (Ἃ δι' ἑτέρων ἐπράχθη καὶ οὐ χαλεπὸν ἦν περὶ τούτων πυθέσθαι, ἐτόλμησε ψευσάμενος τέτταρσι καὶ εἴκοσι μναῖς τοὺς αὑτοῦ θυγατριδοῦς ζημιῶσαι. Λυ. 32, 27. Πολλαὶ πράξεις ἤδη τοιαῦται γεγόνασιν ἃς ἐν ἀρχῇ μὲν ἅπαντες ὑπέλαβον εἶναι συμφορὰς καὶ τοῖς παθοῦσι συνηχθέσθησαν, ὕστερον δὲ τὰς αὐτὰς ταύτας ἔγνωσαν μεγίστων ἀγαθῶν αἰτίας γεγενημένας. Ἰσ. 6, 103.) — Ἀριαῖος, ὃν ἡμεῖς ἠθέλομεν βασιλέα καθιστάναι καὶ ἐδώκαμεν καὶ ἐλάβομεν πιστὰ μὴ προδώσειν ἀλλήλους, καὶ οὗτος νῦν ἡμᾶς κακῶς ποιεῖν πειρᾶται. Ξε. ἀν. 3, 2, 5.

(A. 3. Ein ähnlicher Gebrauch findet sich auch bei Verbindung eines Particips mit einem Verbum. Βούλομαί σοι κἀκείνας τὰς εὐφροσύνας δηλῶσαι ὅσαις ἐγὼ χρώμενος, ὅτ' ἦν ἰδιώτης, νῦν, ἐπειδὴ τύραννος ἐγενόμην, αἰσθάνομαι στερόμενος αὐτῶν. Ξε. Ἱέρ. 6, 1.)

[A. 4. Seltener erscheint auch im zweiten Satze ein Relativ, wie Her. 3, 40, 2, Thuk. 2, 43, 3. 44, 1. 4, 92, 2. 6, 4, 3. 89, 5. 101, 1. Plat. Euthyd. 278, e; dagegen in der Anaphora Od. β, 131, Eur. Bakch. 443 u. öfter.]

7. Zu ergänzen ist im Griechischen sehr häufig sowohl das Subject als das Object, beide besonders wenn sie als wenig betonte persönliche Pronomina, einen kurz vorher erwähnten Begriff erneuernd, eintreten würden, aus dem Zusammenhange sich von selbst ergebend: er, sie, es; ihn, sie, es; demselben, derselben rc. [Register zu Kr.s Ausgaben u. Subject und Object.]

A. 1. Ueber das Subject der dritten Person § 51, 5, 3. Auch das zu ergänzende Object ist gewöhnlich ein Pronomen der dritten Person: αὐτόν, αὐτῷ rc. Von der ersten und zweiten Person fehlt häufig nur der (im Verbum enthaltene) Nominativ vgl. § 51, 1; selten ein obliquer Casus. Πολλοὶ οὕτω πρός τινας ἔχουσιν ὥστε κακῶς μὲν πράττοντας (erg. αὐτοὺς) μὴ δύνασθαι περιορᾶν, ἀλλὰ βοηθεῖν ἀτυχοῦσιν (erg. αὐτοῖς), εὐτυχούντων δὲ (erg. αὐτῶν) λυπεῖσθαι. Ξε. ἀπ. 3, 9, 8. — Ἐμπιπλὰς ἁπάντων τὴν γνώμην ἀπέπεμπεν (erg. αὐτούς). Ξε. ἀν. 1, 7, 8. Ἐπαγγειλαμένου τοῦ Ἀγησιλάου τὴν στρατείαν διδόασιν (erg. αὐτῷ) οἱ Λακεδαιμόνιοι ὅσαπερ ᾔτησεν. Ξε. Ἑλ. 3, 4, 3. Αἳ δοκοῦσι κάλλισται τῶν ἐπιστημῶν καὶ ἐμοὶ πρέποιεν ἂν μάλιστα ἐπιμελομένῳ (erg. αὐτῶν), ταύτας μοι ἐπιδείκνυε. Ξε. οἰκ. 4, 1. Ἤν τις μαλακύνηται, μὴ ἐπιτρέπετε (erg. τοῦτο αὐτῷ). Ξε. Κυ. 3, 2, 5. Τοῦτο ἔμοιγε φαίνεται ὅτι οὐ πᾶσά γε καρτερία ἀνδρία σοι φαίνεται, τεκμαίρομαι δὲ (erg. τοῦτο) ἐνθένδε. Πλ. Λάχ. 192. — Μὴ οἴου τὰ μόνα ἡμῖν ἀγαθὰ ὄντα ὑμῖν παραδώσειν (erg. ἡμᾶς). Ξε. ἀν. 2, 1, 12. Vgl. § 47, 4, 3 und § 51, 6, 3 u. 4.

A. 2. Aehnlich ist zuweilen aus einem (meist vorhergehenden) Adjectiv ein Prädicatsaccusativ zu ergänzen. Ποιητὴς ὁ Ἔρως σοφὸς οὕτως ὥστε καὶ ἄλλον ποιῆσαι (erg. σοφόν). Πλ. συ. 196. Ξύνισμεν ὡς οἱ σοφισταὶ αὐτοί τε ἀντειπεῖν δεινοὶ τούς τε ἄλλους ὅτι ποιοῦσιν (erg. δυνατοὺς) ἅπερ αὐτοὶ δυνατοί. Πλ. σο. 232.

(A. 3. Bei manchen Verben schwebt ein Nomen vor dessen Begriff sie selbst anregen. So zuweilen auch ein Nomen mit einer Präposition. Αὐτός τε ἔσπενδε καὶ τοῖς νεανίσκοις ἐγχεῖν (erg. οἶνον) ἐκέλευσεν. Ξε. ἀν. 4, 3, 13. Ξενοφῶν ὑπελάσας ἤρετο εἴ τι παραγγέλλοι· ὁ δ' ἐπιστήσας (erg. τὸν ἵππον) εἶπεν. Ξε. ἀν. 1, 8, 15. [Dial. Sy. A. 4] Παρήγγειλε τοὺς τοξότας ἐπιβεβλῆσθαι (erg. τὰ τοξεύματα) ἐπὶ ταῖς νευραῖς. Ξε. ἀν. 5, 2, 12. — Τῶν ἱππέων τῶν μὲν καταβεβηκότων (erg. ἀπὸ τῶν ἵππων), τῶν δ' ἔτι ἀναβαινόντων (erg. ἐπὶ τοὺς ἵππους) ἐπελαύνουσιν. Ξε. 5, 4, 39.)

A. 4. Bei andern Verben kann ein ihnen sinnverwandtes **Nomen** als Object gedacht werden. Πέμπων (erg. ἄγγελον) τὰ ὅπλα παραδιδόναι ἐκέλευεν. Ξε. ἀν. 2, 3, 1. Αὐτόμολοι ἀπήγγελλον (erg. ἀγγελίαν) Κύρῳ περὶ τῆς στρατιᾶς. Ξε. ἀν. 1, 7, 2. Ὁρῶσιν οἱ διδόντες εἰς τὰ χρήματα. Εὐ. Πελ. 7. Ὅταν ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων; Εὐ. Ὀρ. 667. Vgl. Xe. Kyr. 3, 1, 34 u. § 52, 1, 2.

A. 5. Bei einigen Verben schweben ganz **unbestimmte** sachliche Objecte vor. Vgl. § 52, 1, 5. Θεράπευε τὸν δυνάμενον, ἄνπερ νοῦν ἔχῃς. Μέ. μο. 244. Τὰ μὴ δυνάμενα τῶν ὑποζυγίων ἥρπαζον. Ξε. ἀν. 4, 5, 12. Οὐ παντελῶς δεῖ τοῖς πονηροῖς ἐπιτρέπειν, ἀλλ' ἀντιτάττεσθαι. Μέ. 8.

A. 6. Aehnlich kann ein **allgemeiner persönlicher** Begriff, wie τινά, ἀνθρώπους als Object bei einem gesetzten Prädicat vorschweben. Τὰ κακῶς τρέφοντα χωρί' ἀνδρείους ποιεῖ. Μέ. 62. Τὸ μὲν θάρσος ἀμέλειάν τε καὶ ῥαθυμίαν καὶ ἀπείθειαν ἐμβάλλει, ὁ δὲ φόβος προσεκτικωτέρους τε καὶ εὐπειθεστέρους καὶ εὐτακτωτέρους ποιεῖ. Ξε. ἀπ. 3, 5, 5. Vgl. § 52, 1, 3 und 55, 2, 6.

8. In einzelnen Verbindungen stehen **Präpositionen** mit ihrem **Casus** im Verhältnisse eines **bloßen Casus**: *περὶ εἴκοσιν ἀπέθανον, ἀπέκτειναν* **ungefähr zwanzig fielen, tödteten sie.**

A. 1. So gebrauchte man bei Zahlen εἰς **gegen** und περὶ **ungefähr** mit dem Ac. allgemein im Verhältnisse eines No., Ac. und **Subjectsgenitivs**. Ξυνεβοήθησαν εἰς εἴκοσι μάλιστα ἱππέας. Θ. 7, 30, 3. Ἀπέθανον αὐτῶν περὶ τριακοσίους. Ξε. Ἑλ. 4, 6, 11. Ξυνελέγησαν ὁπλῖται τῶν Λακεδαιμονίων ἐς ἑξακοσίους. Ξε. Ἑλ. 4, 2, 16. — Διέφθειραν ἐς ὀκτακοσίους. Θ. 7, 32, 2. — (Περιτυγχάνουσι τοῖς λελυμένοις, ὡς περὶ ἑκατὸν οὖσιν. Ξε. Ἑλ. 5, 4, 14.) — Ἤδη συνειλεγμένων ὡς περὶ ἑπτακοσίους λαβὼν αὐτοὺς καταβαίνει. Ξε. Ἑλ. 5, 4, 5. Ἦν κατάπληξις παρὰ τοῖς πολιορκουμένοις, καίπερ ὄντων τῶν μισθοφόρων εἰς μυρίους. Πολ. 1, 42, 11. Ueber ἀμφί Kr.s Lex. zu Xe. An. u. ὁ, ἡ, τό 8, c.

[A. 2. Aehnlich findet sich ἐπὶ δέκα σταδίους **eine Strecke von zehn Stadien** als No. und als Ac., auch mit einem davon regierten Ge. Man denke sich dies wie ἐπὶ δέκα σταδίους τι, entsprechend einem τὸ ἐπὶ δ. στ. [Krit. Anal. 1 S. 157. vgl. z. Th. 6, 34, 7.] Κατεσκάφη τῶν τειχῶν τῶν μακρῶν ἐπὶ δέκα σταδίους ἑκατέρου. Λυ. 13, 8. — Ἦν ἀντὶ τοῦ ἐπὶ δέκα στάδια τῶν μακρῶν τειχῶν διελεῖν ὅλα τὰ μακρὰ τείχη διασκάψαι. Λυ. 13, 13. Προὐκαλοῦντο τῶν μακρῶν τειχῶν ἐπὶ δέκα σταδίους καθελεῖν ἑκατέρου. Ξε. Ἑλ. 2, 2, 14.]

[A. 3. Eben so gebraucht besonders Thuk. ἐπὶ πολύ **eine weite Strecke hin**, ἐπὶ μέγα **einen großen Theil**. Vgl. § 68, 42, 1. Ἀπέφαινεν ἐρῆμον ὂν τὸ χωρίον αὐτό τε καὶ ἐπὶ πολὺ τῆς χώρας. Θ. 4, 3, 2. (Reg. z. Th. u. πολύς.) Ἐσεσιδήρωτο ἐπὶ μέγα τοῦ ξύλου. Θ. 4, 100, 2. z. Th. 2, 76, 3.]

[A. 4. Aehnlich findet sich besonders bei Thuk. auch das distributive κατά mit dem Ac., z. B. in καθ' ἑκάστους und καθ' ἕκαστον, im Verhältnisse eines (Ac.) No. od. Da.: **die, den einzelnen, im Einzelnen**; κατὰ δέκα je zehn. [z. Th. 4, 32, 3. 47, 2.] Ἐνθυμεῖσθε καθ' ἑκάστους τε καὶ ξύμπαντες. Θ. 7, 64, 2. Βραχυτάτῳ ἂν κεφαλαίῳ, τοῖς τε ξύμπασι καὶ καθ' ἕκαστον, τῷδ' ἂν μὴ προέσθαι ἡμᾶς μάθοιτε. Θ. 1, 36, 4. Ὁ Νικίας κατά τε ἔθνη, ἐπιπαριὼν ἕκαστα, καὶ ξύμπασι τοιάδε παρεκελεύετο. Θ. 6, 67, 4.]

9. Ueber den **Infinitiv** in Casusverhältnissen § 50, 6, 1—9.

10. Als Casus erscheinen häufig auch **Sätze**.

A. 1. **Selbständige** Sätze in der Regel nur wenn durch den Artikel substantivirt nach § 50, 6, 10; **relative** meist ohne denselben nach § 51, 13, 1—6, selten mit dem Artikel § 50, 8, 20. Aehnlich finden sich auch **hypothe-**

tische oder temporale Sätze. Vgl. § 59, 2, 5 E. Βίος ἐστὶν ἄν τις τῷ βίῳ χαίρῃ βιῶν. Μέ. μο. 656. Τὸ ἐχυρὸν τοῖς ξυναγωνιουμένοις οὐ τὸ εὔνουν τῶν ἐπικαλεσαμένων φαίνεται, ἀλλ' ἢν τῶν ἔργων τις δυνάμει πολὺ προὔχῃ. Θ. 5, 109. Σοφιστῇ μισθὸς κάλλιστός ἐστι καὶ μέγιστος ἢν τῶν μαθητῶν τινες καλοὶ κἀγαθοὶ καὶ φρόνιμοι γένωνται. Ἰσ. 15, 220. — Φιλανθρωπίᾳ οὐκ ἀφαιρήσεσθε ἤν τι ἐᾶτε αὐτοὺς ἔχειν. Ξε. Κυ. 7, 5, 73. — Τὸ σπεύδειν σοι καὐτῷ παραινῶ κεἴ (καὶ εἴ) τινος κήδει πέρι. Σο. Φι. 6, 20. — (Δουλοῖ ἄνδρα ὅταν ξυνειδῇ μητρὸς ἢ πατρὸς κακά. Εὐ. Ἱπ. 424. Vgl. 3, 88, 124.)

A. 2. In solchen Verbindungen findet sich zuweilen εἴ τις ohne Verbum, als welches bald εἶναι zu ergänzen, bald das Verbum des Hauptsatzes wiederholt zu denken ist. Von dieser Weise aus ist wie ὅστις, ὁπότερος auch εἴ τις völlig adjectivisch geworden: ὅτου δὴ oder εἴ του πείθοντος eig. s. v. a. πείθοντος ὅστις δὴ ἔπειθε, dann schlechtweg gleich mit πείθοντός τινος. Vgl. § 51, 15, 1 u. z. Th. 4, 128, 3. 7, 21, 5. Τῶν νέων τινὰ αἱρήσει, Θεαίτητον τόνδε ἢ καὶ τῶν ἄλλων εἴ τίς σοι κατὰ νοῦν. Πλ. Σο. 217. — Οἱ ἄλλοι ἀπώλοντο ὑπό τε τῶν πολεμίων καὶ τῆς χιόνος καὶ εἴ τις νόσῳ. Ξε. ἀν. 5, 3, 4. Οὐκ ἀπέθανον αὐτῶν πλὴν εἴ τις ἐν τῇ ξυμβολῇ ὑπὸ Τεγεατῶν. Ξε. Ἑλ. 4, 2, 21. [vgl. Th. 4, 26, 3.] — Πάντας ἐξῆγεν, ἐλαύνοντας βοῦς, αἶγας, οἶς, σῦς καὶ εἴ τι βρωτόν. Ξε. Κυ. 5, 2, 5. — (Πολεμοῦνται ἀσαφῶς ὁποτέρων ἀρξάντων. Θ. 4, 20, 3. Ἐξῆν ὁποτεροιςοῦν προκαλεσαμένοις διαμάχεσθαι. Θ. 5, 41, 2. Vgl. 51, 15, 2.)

Zweiter Abschnitt: Von den Sätzen.

---

§ 61. Subject und Prädicat.

I. Das Subject an sich.

1. Das Subject eines Satzes ist entweder persönlich oder unpersönlich. Das persönliche Subject der ersten und zweiten Person wird, wenn es nicht betont ist, bloß durch die Form des Verbums ausgedrückt. Vgl. § 51, 1 u. 60, 7, 1.

2. Für die erste Person des Singulars gebrauchte man auch, in der Prosa jedoch selten, die erste Person des Plurals.

A. 1. Dies geschah ursprünglich wohl in sofern der Sprechende seine Angehörigen mit betheiligt dachte. [Isokr. 12, 16. 21, Her. 7, 160, 2.] Doch bald erlosch diese Beziehung und es finden sich nicht bloß sehr plötzliche Wechsel beider Numeri, sondern auch (bei Tragikern) auffallende Vermischungen. Ὡς Κῦρος ἐπὶ τὸ φιλεῖσθαι δοκεῖ ἡμῖν ἐλθεῖν, τοῦτο πειρασόμεθα διηγήσασθαι. Ξε. Κυ. 8, 1, 48. — (Οὐ δικαίως, ἢν θάνω, θανούμεθα. Εὐ. Τρῳ. 304.) — Ἥλιον μαρτυρόμεθα δρῶσ' ἃ δρᾶν οὐ βούλομαι. Εὐ. Ἡρ. μ. 858. Vgl. Lobeck zu So. Ai. 191 p. 152.

A. 2. Eben so finden sich auch die obliquen Casus von ἡμεῖς für die von ἐγώ. Οὐδ' ἀμελεῖν ἡμῶν ἐθέλουσιν, ἀλλ' ἀεί τι φλαῦρον περὶ ἐμοῦ λέγουσιν. Ἰσ. 12, 16.

3. Die zweite Person des Singulars wird auch, gleichsam ideell, an jeden bezüglichen Hörer oder Leser gerichtet, für unser man gebraucht.

A. 1. Dieser Gebrauch ist bei Weitem nicht so ausgedehnt wie im Lateinischen, meist beschränkt auf Verbindungen wie εἶδες ἄν cerneres, man hätte sehen können, ἡγήσω ἄν man hätte glauben sollen, ἡγήσαιο ἄν credideris, man möchte glauben, u. ä. Vgl. § 54, 3, 10. (Daneben τὶς, wie Xe. Kyr. 7, 1, 38 u. z. An. 1, 5, 8.) Ὧν ζῶντες ἠγγελμένοι ἦσαν οἱ προςήκοντες, ὀλίγους ἂν εἶδες. Ξε. Κυ. 6, 4, 16. Ἐπέγνως ἂν ἐκεῖ οὐδένα οὔτε ὀργιζόμενον κραυγῇ οὔτε χαίροντα ὑβριστικῶς γέλωτι, ἀλλ' ἰδὼν ἂν αὐτοὺς ἡγήσω τῷ ὄντι ἐς κάλλος ζῆν. Ξε. Κυ. 8, 1, 33. Ὁρῶν ταῦτα ἡγήσαιο ἂν Λακεδαιμονίους μόνους τῷ ὄντι τεχνίτας τῶν πολεμικῶν εἶναι. Ξε. Λακ. π. 13, 5. [Ἐν ἴσῳ χρόνῳ ἄλλῳ ἥξεις εἰς τοὺς Αὐτομόλους ἐν ὅσῳπερ ἐξ Ἐλεφαντίνης ἦλθες ἐς τὴν μητρόπολιν τῶν Αἰθιόπων. Ἡρ. 2, 30, 1.]

(A. 2. Aehnlich findet sich auch εἰπέ μοι nach § 54, 4, 3. Εἰπέ μοι τί τοῦτ' ἀπειλεῖ τοὔπος ἄνδρες δημόται. Ἀρ. Ἀχ. 328. Vgl. § 63, 4, 1.)

4. Das Subject der dritten Person wird wo wir ein unbetontes er, sie, es, sie, auf einen vorhergehenden Begriff bezogen, gebrauchen, gleichfalls nicht gesetzt. Vgl. § 60, 7, 1.

(A. 1. Sogar aus einem Plural kann der Singular als Subject ergänzt werden. Οὐδεὶς κολάζει τοὺς ἀδικοῦντας τούτου ἕνεκα ὅτι ἠδίκησεν. Πλ. Πρω. 324. Vgl. Th. 3, 17, 2.)

A. 2. Bei Gegensätzen ist nach ἀλλά [und δέ] aus einem vorhergehenden οὐδείς oder μηδείς als Subject ἕκαστος zu denken. [zu Xe. An. 1, 3, 15 u. z. Th. 4, 10, 1.] Ἐμοὶ οὐδεὶς δοκεῖ εἶναι πένης ὢν ἄνοσος, ἀλλ' ἀεὶ νοσεῖν. Σο. ἀποσ. 325. Μηδεὶς φθόνῳ τὸ μέλλον ἀκούσῃ, ἀλλ' ἂν ἀληθὲς ᾖ σκοπείτω. Δη. 20, 74.

A. 3. Ganz fehlen kann das Subject der dritten Person des Singulars, wenn eine einzelne Handlung von einer Person herrührt deren regelmäßiges Geschäft die bezügliche Thätigkeit ist. [zu Xe. An. 1, 2, 17.] Ἡνίκα ἂν ὥρα ᾖ πορεύεσθαι, σημανεῖ (erg. ὁ σαλπιγκτής) τῷ κέρατι. Ξε. Κυ. 5, 3, 45. Ἐκήρυξε (erg. ὁ κῆρυξ) τοῖς Ἕλλησι συσκευάζεσθαι. Ξε. ἀν. 3, 4, 36. (Ὠδυνήθην ὅτε δὴ 'κεχήνη προςδοκῶν τὸν Αἰσχύλον. ὁ δ' ἀνεῖπεν· εἴςαγ' ὦ Θέογνι τὸν χορόν. Ἀρ. Ἀχ. 11.) Τὸν νόμον ὑμῖν ἀναγνώσεται (erg. ὁ γραμματεύς). Δη. 20, 37.

A. 4. So ergänzte der Grieche ὁ θεός oder Ζεύς zu ὕει (hinzugefügt Il. μ, 25 vgl. Ar. Wo. 368), νίφει, ἀστράπτει, [καθὸ ἡ τοιαύτη ἐνέργεια ἐξαιρέτως τῷ Διὶ ἀναπέμπεται Apoll. Syn. 2, 5]. Auch findet sich z. B. ὁ θεὸς ὕει Her. 2, 13, 3. 3, 117, 2; χιονίζει Her. 2, 22, 2, χειμάζει Xen. Oik. 8, 16, Her. 7, 191, σείει Ar. Lys. 1142, Thuk. 4, 52, 1, (Ποσειδῶν Her. 7, 129, 3). Selbst συσκοτάζει ist wohl hieher zu ziehen [vgl. Polyb. 31, 21: συσκοτάζοντος ἄρτι τοῦ θεοῦ]. Für unser es regnet ꝛc. sagte man, entsprechend dem ποιεῖ (ὁ θεὸς) ὕδωρ, ὑετόν (Ar. Wesp. 261. 63 vgl. Xen. Oik. 20, 11: ὕδωρ ὁ ἄνω θεὸς παρέχει), γίγνεται ὕδωρ (Thuk. 6, 70, 1 vgl. 2, 5, 1 und Lex. Xen. und ὕδωρ) mit ἄνωθεν (4, 75, 3), πολὺ ἐξ οὐρανοῦ (2, 77, 4) wie ὕδωρ πολὺ ἦν ἐξ οὐρανοῦ (Xen. An. 4, 2, 2). Eben so von Schnee und Hagel γίγνεται χιών (eb. 4, 4, 8), χάλαζα (Hell. 4, 5, 4) wie von Donner und Blitz γίγνονται βρονταὶ καὶ ἀστραπαί (Thuk. 6, 70, 1 vgl. 2, 77, 4).

A. 5. Ohne Subject findet sich die dritte Person des Singulars für unser man, wenn schon ein Satz vorhergegangen bei dem ein allgemeiner Begriff wie τὶς (τινά) vorschwebt. Ἡδὺ τὸ οἴεσθαι τεύξεσθαι ὧν ἐφίεται. Ἀρλ. ῥητ. 2, 2. Οὐκ ἔστιν ὀρθῶς ἡγεῖσθαι, ἐὰν μὴ φρόνιμος ᾖ. Πλ. Μέν. 97. Δεῖ αὐτὸν ἑαυτὸν μάλιστα φυλάττειν ὅπως μὴ ἀδικήσει. Πλ. Γο. 480. Ἐκείνη καλλίστη ἀπαλλαγή, ἑαυτὸν παρασκευάζειν ὅπως ἔσται ὡς βέλτιστος. Πλ. ἀπ. 39.

(A. 6. Auf ein so vorschwebendes τὶς, τινές oder ἄνθρωποι kann sich ein Casus (meist ein obliquer) von αὐτός, ἑαυτοῦ beziehen, selbst in einem Nebensatze. Οὐκ ἔνι αὐτὸν ἀργοῦντα οὐδὲ τοῖς φίλοις ἐπιτάττειν, μήτι γε τοῖς θεοῖς. Δη. 2, 23. Ἡδύ τοι ἀνδρεῖόν τι καὶ καλὸν εἰπόντα καὶ ποιήσαντα μνήμην ἐν οἷς ἐθέλει παρέχειν ἑαυτοῦ. Ξε. ἀν. 6, 3, 24. — Οὐ δεῖ ἐπὶ τὸ αὐτίκα ἡδὺ προϊέναι αὐτούς. Ξε. Κυ. 7, 5, 76. Ἡ τυραννὶς ἀναγκάζει καὶ ταῖς ἑαυτῶν πατρίσιν ἐγκαλεῖν. Ξε. Ἱέρ. 5, 4. — Τῆς ζημίας μεγίστη τὸ ὑπὸ πονηροτέρου ἄρχεσθαι, ἐὰν μὴ αὐτὸς ἐθέλῃ ἄρχειν. Πλ. πολ. 347. Αἰσχρὸν νενόμισται μὴ φάναι συμβουλεύειν, ἢν μή τις αὐτῷ ἀργύριον διδῷ. Πλ. Γο. 520. Τὼ ἄνδρε οἵω τε ποιῆσαι δυνατὸν εἶναι αὐτὸν αὐτῷ βοηθεῖν ἐν τοῖς δικαστηρίοις, ἄν τις αὐτὸν ἀδικῇ. Πλ. Εὐθύδ. 273.

A. 7. Auch die dritte Person des Plurals des Präsens steht ohne Subject für unser man, in sofern die Handlung von Menschen allgemein, wenn auch unbestimmt ausgesagt wird, besonders bei Verben der Aeußerung. Reg. zu Th. u. Subject.] Eben so das Imperfect von Berichterstattern (vgl. § 53, 2, 2); hin und wieder auch sonst, wie Th. 2, 51, 2, Xen. An. 1, 9, 5. Πόνος, ὡς λέγουσιν, εὐκλείας πατήρ. Εὐ. Δικ. 2. Καὶ δὶς καὶ τρίς φασι καλὸν εἶναι τὰ καλὰ λέγειν τε καὶ ἐπισκοπεῖσθαι. Πλ. Γο. 498. — Οὔ που ἀμαθίᾳ γε, ἀλλ' ἐπιστήμῃ εὖ βουλεύονται. Πλ. πολ. 428. Τὰς σπουδὰς οἴονται δεῖν ἕνεκα παιδιῶν γίγνεσθαι. Πλ. νό. 803. Ἐνόμισεν, ὅπερ πάσχουσιν ἐν τοῖς μεγάλοις ἀγῶσιν, πάντα ἔτι σφίσιν ἐνδεᾶ εἶναι. Θ. 7, 69, 2. — Ἠι ἐπὶ Ποτίδαιαν ἔρχονται προςεκάθητο τῇ πόλει. Θ. 4, 130, 2. [vgl. Her. 2, 106, 1.]

A. 8. Ueber den Wechsel des Subjectes Kr. De auth. p. 32 vgl. 48; über die Ergänzung eines Subjectes aus einem synonymen Worte ꝛc. Kr. Reg. z. Th. u. Subject.

5. Ohne Subject steht die dritte Person in sofern unbestimmt ein allgemeiner Begriff von Personen oder von einer Sache vorschwebt: irgend wer, irgend welche, etwas.

A. 1. So stehen (scheinbar) ohne Subject, ihr Prädicat mit enthaltend, ἔστιν und εἰσίν es ist, sind vorhanden mit einem das Subject vertretenden relativen Satze, aus dem man das zuweilen auch zugefügte τὶς (τινές, τὶ, τινά) denken kann. (Ἀνάγκη πᾶσι τοῖς στρατευομένοις εἶναί τινα ὅτῳ σκηνῆς μελήσει. Ξε. Κυ. 4, 2, 34. Εἰσί τινες οἳ τῶν τοιούτων καταγελῶσιν. Πλ. Λάχ. 178.) Τῶν συμμάχων ὑμῖν εἰσιν οἳ διαλέγονται περὶ φιλίας. Ξε. Ἑλ. 6, 4, 24. Εἰσὶ τῶν νήσων αἳ ἠπείρωνται. Θ. 2, 102, 3. Οἱ ὕστερον ἥκοντες εἰσὶν οἳ ἐπλανήθησαν. Θ. 7, 44, 8. Ἦσαν οἳ καὶ πῦρ προςέφερον. Ξε. ἀν. 5, 2, 14. Vgl. Kr. Stud. 2 S. 62 f., z. Th. 2, 49, 5. Ueber εἰσὶ δὲ οἳ καί u. εἰσὶ δὲ καὶ οἵ zu 7, 57, 3.

A. 2. Der Singular findet sich besonders in der Frage ἔστιν ὅστις —; und in οὐκ ἔστιν ὅστις —; [Affirmativ zu Xe. An. 1, 8, 20 u. zu Th. 2, 94, 3. Elmsley Med. p. 374?] Ἔστιν ὅστις βούλεται ἄθλιος καὶ κακοδαίμων εἶναι; Πλ. Μέν. 78. Ἔστιν ὅτῳ ἄλλῳ τῶν σπουδαίων πλείω ἐπιτρέπεις ἢ τῇ γυναικί; Ξε. οἰκ. 3, 12. (Ἔσθ' ὅτῳ θρασύνεται. Ἀρ. νε. 1349.) Ἔστι πρὸς ὁποῖον βίον ἄλλον ἢ τὸν κολακεύοντα εἰκότως τρέψεται; Πλ. πολ. 538. — Οὐκ ἔστι θνητῶν ὅστις ἔστ' ἐλεύθερος; Εὐ. Ἑκ. 864. Οὐκ ἔστι περὶ ὅτου οὐκ ἂν πιθανώτερον εἴποι ὁ ῥητορικὸς μᾶλλον ἢ ἄλλος ὁστιςοῦν. Πλ. Γο. 456. (Οὐδεὶς ἔστιν ὅντιν' οὐ πεφενάκικε Φίλιππος τῶν αὐτῷ χρησαμένων. Δη. 2, 7. Οὐκ ἔστιν οὐδεὶς ὅστις οὐχ αὑτῷ φίλος. Μέ. μο. 407. — Οὐκ ἔσθ' ὁποῖον στάντ' ἂν ἀνθρώπων βίον οὔτ' αἰνέσαιμ' ἂν οὔτε μεμψαίμην ποτέ. Σο. Ἀντ. 1156. — Οὐκ ἂν εἴη ὅστις οὐκ ἐπὶ τοῖς γεγενημένοις ἀγανακτοίη. Λυ. 1, 1.)

A. 3. Ἔστιν ist so sehr absolut geworden, der Idee des Numerus und Tempus entkleidet, daß es sogar mit dem Plural (nicht bloß des Neutrums) von ὅς und ὅστις verbunden und auch auf die Vergangenheit bezogen wird [vgl. § 63, 4, 4], so daß ἔστιν οἵ, οἵτινες so v. ist a. ἔνιοι; οὐκ ἔστιν οἵ, οἵτινες

so v. a. οὐδένες. (Ueber die Zweifel gegen den No. ἔστιν οἳ Kr. zu Xen. An. 5, 10, 6 u. z. Ar. 1, 7, 11, οὐκ ἔστιν οἵτινες Minos 320, a.) Ἄκων ἔστιν οὓς ἐγὼ ἐπαινῶ καὶ φιλῶ. Πλ. Πρω. 346. Οἱ στρατηγοὶ ἔστιν ἐν οἷς τῶν στρατηγικῶν ἔργων οὐ γνώμῃ διαφέροντες ἀλλήλων οἱ μὲν βελτίονες οἱ δὲ χείρονές εἰσιν, ἀλλὰ σαφῶς ἐπιμελείᾳ. Ξε. οἰκ. 20, 6. Ἔστιν οὕςτινας ἀνθρώπων τεθαύμακας ἐπὶ σοφίᾳ; Ξε. ἀπ. 1, 4, 2. Προγόνων καλὰ ἔργα οὐκ ἔστιν οἷς μείζω καὶ πλείω ὑπάρχει ἢ Ἀθηναίοις. Ξε. ἀπ. 3, 5, 3. — Ὕποπτοι ἐγένοντο ἔστιν ἐν οἷς οὐ ποιοῦντες ἐκ τῶν ξυγκειμένων. Θ. 5, 25, 2. Στρατιὰν εἶχεν ἐκ τῶν ἐν Σικελίᾳ πόλεων ἔστιν ὧν. Θ. 7, 11, 1. Ἔστιν ἀφ' ὧν χωρίων ὁπλίτας εἶχον. Θ. 8, 65, 1. [z. Th. 7, 25, 5. vgl. zu 7, 11, 2. 1, 6, 4 u. 23, 3.]

(A. 4. Selbst ἦν verbindet Xen. mit dem Plural von ὅς. Τῶν πολεμίων ἦν οὓς ὑποσπόνδους ἀπέδοσαν. Ξε. Ἑλ. 7, 5, 17.)

A. 5. In gleicher Weise (A. 1. 2) verbindet sich ἔστιν mit relativen **Adverbien** localer, temporaler (ὅτε) und modaler Bedeutung, übersetzbar **irgendwo** rc., **irgend wann** rc., **irgend wie**. Ἔστιν ἔνθα χὴ (καὶ ἡ) δίκη βλάβην φέρει. Σο. Ἠλ. 1042. Ἔστιν οὗ σιγὴ λόγου κρείσσων γένοιτ' ἄν, ἔστι δ' οὗ σιγῆς λόγος. Εὐ. Ὀρ. 638. Ἔστιν ἵν' ἡδὺ μὴ λίαν φρονεῖν, ἔστιν δὲ χὤπου (καὶ ὅπου) χρήσιμον γνώμην ἔχειν. Εὐ. Ἰφ. Α. 924. Αἱρεῖ τὴν πόλιν τοῦ τείχους ἔστιν ᾗ πεπτωκότος. Θ. 7, 29, 2. — Ἔσθ' ὅποι ἡμᾶς ἔτ' ἄξεις; Ἀρ. ὄρ. 20. Ἔστιν ὁπόθεν αἰσθήσει πληρώσεως ἐφάπτοιτ' ἄν; Πλ. Φιλ. 35. — Οὐκ ἔστιν ὅπου μηδὲν ποιοῦσιν ἐγὼ τὰ τῶν ποιησόντων εἶπον ὡς δεῖ νέμειν. Δη. 3, 35. Οὐκ ἦν ὅπου οὐ παρετίθεσαν κρέα. Ξε. ἀν. 4, 5, 31. (Εὑρήσετε καὶ ἔνθα ἄνευ μοναρχίας πόλις οἰκεῖται. Ξε. Κυ. 8, 1, 4.) — Ἀνδρεία καὶ σοφία ἔστιν ὅτε βλαβερὰ καὶ φίλοις καὶ πόλει δοκεῖ εἶναι. Ξε. συ. 3, 4. [Οὐκ ἔστιν ὅτε Th. 2, 39, 1?] — Ἦν ὁπότε αὐτοῖς πολλὰ πράγματα παρεῖχον οἱ βάρβαροι. Ξε. ἀπ. 4, 2, 27. (Ταύτην ποτ' οὐκ ἔσθ' ὡς ἔτι ζῶσαν γαμεῖς. Σο. Ἀντ. 750.) Ἔστιν ὅπως οὐ πάμπολυ διαφέρει γυνὴ ἀνδρὸς τὴν φύσιν; Πλ. πολ. 453. Οὐκ ἔστιν ὅπως ἥβην κτήσει πάλιν αὖθις. Εὐ. Ἡρ. 707. Οὐκ ἔσθ' ὅπως ὅδ' οὐκ Ὀρέστης ἐστίν. Σο. Ἠλ. 1479. — Ἔστιν ᾗ τὸ ἀνθρώπινον γένος φύσει τινὶ μετείληφεν ἀθανασίας. Πλ. νό. 721. Κοινωνία ψυχῇ καὶ σώματι διαλύσεως οὐκ ἔστιν ᾗ κρεῖττον. Πλ. νό. 828. Τὸ λευκὸν τῷ μέλανι ἔστιν ὅπῃ προςέοικεν; Πλ. Πρω. 331. (Ἥκειν δέδωκεν ἔστιν ὃν τρόπον, οὐχ ὃν ἂν τύχῃ. Δη. 23, 72.)

A. 6. Unbestimmt ist zuweilen der Begriff eines **Dinges** oder auch der Zeit und Localität als Subject zu denken, namentlich bei ἔστι, γίγνεται **und** bei **Passiven**, in welchen Fällen wir ein **es** hinzufügen. Vgl. § 43, 4, 13. [zu Th. 1, 6, 4 u. Reg. z. Th. u. Subject.] Ἡμέρα ἐγένετο. Θ. 7, 84, 1. Πρὶν ἡμέραν εἶναι τὸ ἀκάτιον ἐςῆγον. Θ. 4, 67, 4. Ἤδη ἦν ἐν τῷ τρίτῳ σταθμῷ. Ξε. ἀν. 4, 6, 2. [vgl. § 62, 2, 2 u. Th. 7, 31, 1.] Ἤδη ἦν ἀμφὶ ἀγορὰν πλήθουσαν. Ξε. ἀν. 1, 8, 1 u. dort Kr. Ἐπεὶ πρὸς ἡμέραν ἐγίγνετο, προςέπιπτον. Ξε. Ἑλ. 2, 4, 6. — Παραστάντες οἱ Συρακόσιοι, ἦν δὲ κρημνώδες, ἔβαλλον. Θ. 7, 84, 3. — Ἐῤῥύη αὐτῷ ἐκ τῆς ῥινὸς βληθέντι. Ξε. Κυ. 8, 3, 30. Ἐὰν δόξῃ μοι, ἐμεῖν ποιῶ, ἐὰν δ' αὖ, κάτω διαχωρεῖν. Πλ. Φαῖδ. 268. — [Ἐπειδὴ ἑκάστοις ἑτοῖμα γίγνοιτο, ξυνῄεσαν. Θ. 2, 10, 1. Ἐπειδὴ ἑτοῖμα ἦν ἀνήγετο. Θ. 2, 56, 1. zu 2, 3, 3.] — Ἐπεὶ αὐτοῖς παρεσκεύαστο, εἰςήγαγον τὸ στράτευμα. Ξε. Ἑλ. 1, 3, 20. [zu Th. 1, 46, 1.] Πέπαισται μετρίως ἡμῖν. Ἀρ. θε. 1227. Τὸ πάλαι διαζώματα ἔχοντες περὶ τὰ αἰδοῖα οἱ ἀθληταὶ ἠγωνίζοντο, καὶ οὐ πολλὰ ἔτη ἐπειδὴ πέπαυται. Θ. 1, 6, 4. Βεβοήθηται τῷ νόμῳ. Ἀντ. 1, 31. Ueber die Verbalia § 56, 18, 2.

(A. 7. Aehnlich findet sich παρέχει (vgl. § 52, 2, 3), das daher so v. ist als πάρεστιν, und δηλοῖ, δείκνυσιν, σημαίνει **die Sache zeigt**, wie αὐτὸ δηλοῖ neben τὸ πρᾶγμα, τὸ ἔργον αὐτὸ δηλοῖ. Καλῶς γε σωφρονεῖν παρεῖχέ σοι. Εὐ. Ἠλ. 1080. Δηλοῖ ἐμοὶ ὅτι πάντα τὰ πράγματα τῶν βαρβάρων ἤρτητο ἐκ Περσῶν. Ἡρ. 9, 68. Πῶς ἠγωνίσμεθα; Δείξειν ἔοικεν. Ἀρ. σφ.

994. — Οἵτινες οἱ τούτων μετεσχηκότες αὐτὸ δηλώσει. Δη. 19, 157. Πρωταγόρας ἱκανὸς μακροὺς λόγους καὶ καλοὺς εἰπεῖν, ὡς αὐτὰ δηλοῖ. Πλ. Πρω. 329. Πωλεῖν αὐτὸν προῄρητο, ὡς αὐτὸ ἔδειξεν. Αἰ. 1, 40. Τί δράσετ' ὦ τέκν'; Αὐτὸ σημανεῖ. Εὐ. Φοί. 623. — Ταχὺ αὐτὸ δείξει τοὔργον, ὡς ἐγώ, σαφῶς. Σο. ἀποσ. 352. (Ueber παρείκει z. Th. 3, 1, παρέστηκε z. 6, 78, 1, καθέστηκε zu 1, 76, 2, εἰςέρχεται 2c. Dial. Sy. A. 4.)

A. 8. Statt der unpersönlichen Construction gebraucht der Grieche in mehrern Fällen die persönliche, vgl. § 55, 3, 4. 7 u. 10; beide unterschieden § 55, 4, 2 u. 3, § 56, 4, 8 u. 18 A. 1 u. 2. (Φοβερός ἐστι μὴ ἀνήκεστόν τι ποιήσῃ. Ξε. Ἱέρ. 6, 16 [vgl. An. 5, 7, 2, Her. 3, 155, 3.] — Ἥμισυς ὁ βίος βιῶναι κρείττων (κρεῖττον?) ἀλύπως ἐστὶν ἢ διπλάσιος λυπουμένῳ. Λυ. 6, 32. Ὁ Χαλκιδεὺς ξύμφορος ἡμῖν ἀπαράσκευος ὤν. Θ. 6, 84, 3 u. die A. Vgl. Lobeck zu Soph. Ai. 634.)

II. Anticipation des Subjects.

6. Bei ideell abhängigen Sätzen (§ 54, 6, 1) veranlaßt das Streben schon beim Hauptsatze das Subject, zuweilen auch einen andern Begriff, besonders hervorzuheben, diese Begriffe dem abhängigen Satze voranzustellen, meist auch constructionsmäßig dem Hauptsatze anzuschließen: Anticipation, Prolepsis, gewöhnlich ungehörig Attraction genannt. Vgl. Lobeck z. So. Ai. 694 an. 2. [Kr. Reg. z. Th. u. Anticipation.]

(A. 1. Anticipation durch Stellung allein. [Heindorf zu Pl. Phaidr. 125.] Ἐπιχειρήσωμεν εἰπεῖν ἀνδρία τί ποτ' ἐστίν. Πλ. Λάχ. 190. Τὸν μέλλοντα ῥητορικὸν ἔσεσθαι ἀνάγκη εἰδέναι ψυχὴ ὅσα εἴδη ἔχει. Πλ. Φαῖδ. 271. Οὐχ ὁρᾷς οἱ εἰς τὸν τετρημένον πίθον ἀντλεῖν λεγόμενοι ὡς οἰκτείρονται, ὅτι μάτην πονεῖν δοκοῦσιν; Ξε. οἰκ. 7, 40. — Βούλομαι δεῖξαι τὸ βιάζεσθαι καὶ ὑβρίζειν ὡς ἅπαντες ὑμεῖς φεύγετε. Δη. 21, 58.)

A. 2. Am gewöhnlichsten erscheint der anticipirte Begriff im Hauptsatze als Object (meist im Ac.) eines Verbums des Erkennens oder Aussagens, wie z. B. οἶδά σε ὃς εἶ und οὐκ οἶδά σε ὅστις εἶ oder τίς εἶ ich weiß (nicht) wer Du bist. [z. Th. 1, 136, 3.] Ἀνθρώπου ψυχὴ θεῶν ᾔσθηται ὅτι εἰσίν. Ξε. ἀπ. 1, 4, 13. Γνώσεται τὸν Ἡσίοδον ὅτι τῷ ὄντι ἦν σοφός, λέγων πλέον εἶναί πως ἥμισυ παντός. Πλ. πολ. 466. Γῆν πάντες οἴδασιν ὅτι εὖ πάσχουσα εὖ ποιεῖ. Ξε. οἰκ. 20, 14. Ἀγνοεῖ ἑαυτὸν ὅτι σωφρονεῖ. Πλ. Χαρ. 164. [vgl. Xe. An. 1, 9, 7.] Μέμνησθε τοὺς χρόνους ὅτι τῶν ἀδικημάτων εἰσὶ πρότεροι. Δη. 19, 236. — Οὐκ ᾔσθησαι τὰς ἄνευ ἐπιστήμης δόξας ὡς πᾶσαι αἰσχραί; Πλ. πολ. 506. Γνώσει κακοῦ θυμοῦ τελευτὴν ὡς κακὴ προςγίγνεται. Σο. ΟΚ. 1197. Εἰσί τινες οἵ μ' ἔλεγον ὡς καταδιηλλάγην. Ἀρ. σφ. 1294.

Ὁρᾷς τὴν φύσιν τὴν τῶν πολλῶν ὡς διάκειται πρὸς τὰς ἡδονάς. Ἰσ. 15, 133. Τοὺς κριτὰς ἃ κερδανοῦσι βουλόμεθ' ἡμεῖς φράσαι. Ἀρ. νε. 1115. Ὁρᾷς Ὀδυσσεῦ τὴν θεῶν ἰσχὺν ὅση. Σο. Αἴ. 118. Ἀνθρώπους οἶδα καὶ μάλα δοκοῦντας φρονίμους εἶναι οἷα πεπόνθασιν ὑπ' Ἔρωτος. Ξε. Κυ. 6, 1, 36. Τῆς τοῦ ὄντος θέας οἵαν ἡδονὴν ἔχει ἀδύνατον ἄλλῳ γεγεῦσθαι πλὴν φιλοσόφῳ. Πλ. πολ. 582. Μάνθανε αὐτὴν τὴν ἀλήθειαν οἷόν ἐστιν. Πλ. πολ. 582. — Τό γε στρατηγεῖν τοῦτ' ἐγὼ κρίνω καλῶς, γνῶναι τὸν ἐχθρὸν ᾗ μάλισθ' ἁλώσιμος. Εὐ. Τη. 9. Ἐπετήρουν τοὺς Ἀθηναίους οἳ κατασχήσουσιν. Θ. 4, 42, 4.

Οὗτός σου δοκεῖ ἀποπειρᾶσθαι εἰ οἷός τ' ἔσει τῷ σαυτοῦ λόγῳ βοηθεῖν. Πλ. Πρω. 341. Οὐ δεῖ ὑμᾶς ἐκ τῶν τοῦ κατηγόρου λόγων τοὺς νόμους καταμανθάνειν εἰ καλῶς κεῖνται ἢ μή. Ἀντ. 5, 14. Ἐφύλαττον αὐτὸν εἰ καὶ τὴν νύκτα ἐστήξοι. Πλ. συ. 220. — Πειρῶ εἰπεῖν ἀνδρίαν τί ὂν ἐν πᾶσι τούτοις ταὐτόν ἐστιν. Πλ. Λαχ. 191. Μίμησιν ἔχοις ἄν μοι εἰπεῖν ὅ, τι ποτ' ἔστιν; Πλ. πολ. 595. Ἐνθυμοῦ τῶν εἰδότων ὅ, τι

λέγουσι καὶ ὅ, τι ποιοῦσιν. Ξε. ἀπ. 3, 6, 17. Τοῦτον οὐ μανθάνω ὅ, τι βούλεται λέγειν. Πλ. Λάχ. 196. Ἐνόμιζον ἄλλους μὲν γιγνώσκειν τοὺς μὲν οἷόν τ' εἶναι, τοὺς δ' οὔ· ἑαυτὸν δὲ ὅστις ἐστὶ πάντα τινὰ ἐνόμιζον ἄνθρωπον εἰδέναι. Ξε. Κυ. 7, 2, 21. Ἔλεγχε σαυτὸν ὅστις εἶ. Ζήνων Στ. 14, 4. Ἀνήρετ' ἄρτι Χαιρεφῶντα Σωκράτης ψύλλαν ὁπόσους ἅλλοιτο τοὺς αὑτῆς πόδας. Ἀρ. νε. 144. [vgl. Her. 1, 67, 2 u. 3, 130, 1.] Οἶσθα Εὐθύδημον ὁπόσους ὀδόντας ἔχει. Πλ. Εὐθύδ. 294. Βούλεσθ' ἀκοῦσαι τήνδ' ὅπως ἀπώλετο; Ἀρ. εἰρ. 604. [Ueber die Stellung z. Th. 6, 76, 1.]

A. 3. Diese Fügung findet sich zuweilen auch bei Passiven, wo der Accusativ als Subject eintritt [doch z. B. bei λέγεται sich auch erhalten findet.] Οὗτοι ἐπιδειχθήσονται οἷοί εἰσιν ἄνθρωποι. Δη. 43, 2. Τῶν Ἀθήνησι προεστηκότων ἐλέγοντό τινες ὡς γιγνώσκουσι τὸ δίκαιον οὐδενὸς ἧττον ἀνθρώπων. Ξε. π. πόρ. 1, 1. [vgl. Her. 2, 174.] Τοὺς Ἕλληνας οὐδέν πω σαφὲς λέγεται εἰ ἕπονται. Ξε. Κυ. 2, 1, 5. Τοὺς βιαίους ἵππους ἀγαθόν μοι δοκεῖ εἶναι προῤῥηθῆναι ὅτι ἀποδοκιμασθήσονται. Ξε. ἱπρ. 1, 14. — Ἐν Αἰσώπου λόγοις ἐστὶν λεγόμενον δή τι, τὴν ἀλώπεχ' ὡς φλαύρως ἐκοινώνησεν ἀετῷ ποτε. Ἀρ. ὄρν. 652.

A. 4. Auch zu einem Nomen des Hauptsatzes kann der Subjectbegriff des abhängigen Satzes als Genitiv construirt, ja selbst mit einer Präposition dem Hauptsatze beigefügt werden. Μέγα σοι ἐρῶ τεκμήριον τοῦ νόμου ὅτι οὕτως ἔχει. Πλ. Εὐθυφ. 5. Ἐγὼ κριτὴς κατὰ τὸν Πρωταγόραν τῶν τε ὄντων ἐμοὶ ὡς ἔστι καὶ τῶν μὴ ὄντων ὡς οὐκ ἔστιν. Πλ. Θε. 160. Βούλει λαβεῖν μου πεῖραν ὅπως ἔχω; Πλ. Πρω. 341. Εἰλήφαμεν ἐπιστήμην τοῦ ἴσου ὅ, τι ἐστίν. Πλ. Φαίδ. 75. — Γίγνεται ὁ σώφρων ἐπιστήμων ὧν τε οἶδεν ὅτι οἶδεν καὶ ὧν μὴ οἶδεν ὅτι οὐκ οἶδεν. Πλ. Χαρ. 175. — Ὀρθῶς λέγεις περὶ σωφροσύνης ὅ ἐστιν. Πλ. Χαρ. 169. [vgl. Th. 6, 82, 1.] (Τὰ παρὰ τῶν θεῶν ἐπισκεπτέον εἰ συμβουλεύουσιν αὐτὸν φίλον ποιεῖσθαι. Ξε. ἀπ. 2, 6, 8.) Οἶμαι εἶναί τι ἡμῖν τοῦτο πρὸς τἆλλα μόρια τὰ τῆς ἀρετῆς πῶς ποτ' ἔχει. Πλ. Πρω. 353.

A. 5. Selten ist die Anticipation bei Zweckpartikeln; allgemein üblich jedoch bei ἐπιμελεῖσθαι und bei den Verben des Fürchtens mit μή. Ἄρχοντός ἐστιν τῶν ἀρχομένων ἐπιμελεῖσθαι ὅπως ὡς βέλτιστοι ἔσονται. Ξε. Κυ. 2, 1, 11. — Οἱ τύραννοι φοβοῦνται τοὺς μὲν ἀνδρείους μή τι τολμήσωσι τῆς ἐλευθερίας ἕνεκα· τοὺς δὲ σοφούς, μή τι μηχανήσωνται· τοὺς δὲ δικαίους, μή τι ἐπιθυμήσῃ τὸ πλῆθος ὑπ' αὐτῶν προστατεῖσθαι. Ξε. ἱπρ. 5, 1. Τὴν ὑπερβολὴν τῶν ὀρέων ἐδεδοίκεσαν μὴ προκαταληφθείη. Ξε. ἀν. 3, 5, 18. Τοὺς ἀνθρώπους φυλάξῃ μή σε αἰσθόμενον τῶν γονέων ἀμελοῦντα ἀτιμάσωσιν. Ξε. ἀπ. 2, 2, 14. — Ἔδεισε περὶ τῷ γένει ἡμῶν μὴ ἀπόλοιτο πᾶν. Πλ. Πρω. 322. Ἀνάγκη ἐστὶν ἀεὶ τὸν μέλλοντα ἀποθανεῖσθαι δεδιέναι ὑπὲρ τῆς αὐτοῦ ψυχῆς μὴ ἐν τῇ νῦν τοῦ σώματος διαζεύξει παντάπασιν ἀπόληται. Πλ. Φαίδ. 88.

(A. 6. Der zum Verbum des Hauptsatzes construirte Begriff kann in dem abhängigen Satze auch als obliquer Casus durch ein Demonstrativ wieder aufgenommen werden. Τὴν παροῦσαν δύναμιν, μὴ αὐτὴν καταπλαγῆτε, δείσαντες ἐπρεσβευσάμεθα. Θ. 6, 76, 1. [vgl. 4, 86, 2.] Τὴν νῆσον ταύτην ἐφοβοῦντο, μὴ ἐξ αὐτῆς τὸν πόλεμον σφίσι ποιῶνται. Θ. 4, 8, 5. Περὶ τῶν υἱέων ἐν ἀπορίᾳ εἰμὶ τί δεῖ αὐτοῖς χρήσασθαι. Πλ. Εὐθύδ. 306.)

(A. 7. Auch ein Objectivbegriff des abhängigen Satzes kann zum Hauptsatze construirt werden. Ἴσως ἄν τις τὸν χρόνον ὑμῶν θαυμάσειε πῶς ποτε πολὺν οὕτως εἰάσαμεν. Ἰσαῖ. 10, 18.)

A. 8. Eine Anticipation ähnlicher Art wie A. 2 u. 4 ist es, wenn der Subject- oder Objectbegriff eines Infinitivs zu dem diesem regierenden Verbum, Substantiv oder Adjectiv construirt wird oder auch als Subject eintritt. [Reg z. Th. u. Her. u. Anticipation.] Δέομαι (ich bedarf) ὑμῶν στρατεύεσθαι σὺν ἐμοί. Ξε. ἀν. 7, 3, 10. Ταὐτὸν ἔπαθε Πῶλος πάθος ὅπερ Γορ-

γίου κατηγόρει πρὸς σὲ παθεῖν. Πλ. Γο. 482. — Ἐμπέφυκε γυναιξὶ τέρψις τῶν παρεστώτων κακῶν ἀνὰ στόμ' ἀεὶ καὶ διὰ γλώσσης ἔχειν. Εὐ. Ἀνδρ. 94. Ὁμήρῳ οὐ πιστεύεις καλῶς λέγειν; Πλ. Χαρ. 161. Ἡ ἀρχὴ ἡ Ὀδρυσῶν ἦν ἡμερῶν ἀνδρὶ εὐζώνῳ τριῶν καὶ δέκα ἀνύσαι. Θ. 12, 97, 2. — Οὔ σ' ἠξίωσαν τῶν Ἀχιλλείων ὅπλων ἐλθόντι δοῦναι κυρίως αἰτουμένῳ; Σο. Φι. 62. Σῶμα νοσῶδες μικρᾶς ῥοπῆς ἔξωθεν δεῖται προςλαβέσθαι πρὸς τὸ κάμνειν. Πλ. πολ. 556. Σφόδρα ἡμῖν δεῖ ἄκρων εἶναι τῶν ἀρχόντων. Πλ. πολ. 459. Τὸ ἐμὸν παράδειγμα, οἵων ἐπιθυμῶ τῶν προτρεπτικῶν λόγων εἶναι, τοιοῦτον. Πλ. Εὐθύδ. 282. Τὸ ἐφίεσθαί τινος λαβεῖν τῷ ἀπαρνεῖσθαι ἐναντίον. Πλ. πολ. 437. Ἀθηναῖοι τῆς θαλάσσης εἶργον μὴ χρῆσθαι τοὺς Μυτιληναίους. Θ. 3, 6, 2. — Δεινότατον τοιούτους τρέφειν κύνας ὥστε ὑπ' ἀκολασίας τοὺς κύνας ἐπιχειρῆσαι τοῖς προβάτοις κακουργεῖν. Πλ. πολ. 416.

Οὐδ' ἐπιθυμία σε ἄλλης πόλεως οὐδ' ἄλλων νόμων ἔλαβεν εἰδέναι. Πλ. Κρίτ. 52. — Δοκεῖς μοι τῆς θεοῦ ἐπωνυμίας ἄξιος εἶναι ἐπονομάζεσθαι. Πλ. νό. 626. Τῷ κυρίῳ τῶν φόρων γενομένῳ τάξαι Ἀριστείδῃ οὐδεμιᾷ δραχμῇ πλείω τὰ ὑπάρχοντα ἐγένετο. Δη. 23, 209. — Ἡ στρατιὰ πολλὴ οὖσα οὐ πάσης ἔσται πόλεως ὑποδέξασθαι. Θ. 6, 22, 3. Ἐπὶ τούτοισι ἡ στρατιὰ ἐγένετο διαφθεῖραι. Ἡρ. 7, 52. Ἡ ἐς τὸ ἄνω ὄψις καλῶς ἔχει τοῦτο τὸ ὄνομα καλεῖσθαι Οὐρανία. Πλ. Κρατ. 396. Ἡ τῶν πραγμάτων οὐσία Ἑστία καλεῖσθαι ἔχει λόγον. Πλ. Κρατ. 401.

(A. 9. Eben so fügte man auch bei Präpositionen statt des Infinitivs mit seinem Object dieses, um es voranzustellen, der Präposition an und ließ den bloßen Infinitiv ohne Artikel folgen. Τὰ σκάφη μὲν οὐχ εἷλκον, πρὸς δὲ τοὺς ἀνθρώπους ἐτράποντο φονεύειν. Θ. 1, 50, 1. Μαχοῦνται περί τε τῆς ἀλλοτρίας οἰκείαν σχεῖν καὶ τὴν οἰκείαν μὴ βλάψαι ἡσσώμενοι. Θ. 6, 69, 4.)

III. Assimilation.

7. Wenn das Subject ein sachlicher adjectivischer Begriff (ohne Substantiv) ist, so muß es eigentlich ein substantivirtes Neutrum sein. Sehr gewöhnlich aber werden besonders *ὅδε, οὗτος,* (*ἐκεῖνος*) und *ὅς,* statt im Neutrum zu stehen, im Genus und Numerus dem folgenden Prädicat assimilirt. [Kr. z. Dion. p. 18 u. Krit. Anal. 1 S. 150.] *Ἥδε ἀρχὴ τῆς ὁμολογίας, ἐρέσθαι ἡμᾶς αὐτούς. Πλ. πολ.* 462. *Οὐχ οὗτος ὅρος ἐστὶ δικαιοσύνης ἀληθῆ τε λέγειν καὶ ἃ ἂν λάβῃ τις ἀποδιδόναι. Πλ. πολ.* 331. *Ὀρθότης ἐστὶν αὕτη ἣ ἐνδείξεται οἷόν ἐστι τὸ πρᾶγμα. Πλ. Κρατ.* 428. *Πάντες οὗτοι νόμοι εἰσὶν οὓς τὸ πλῆθος συνελθὸν καὶ δοκιμάσαν ἔγραψε, φράζον ἅ, τε δεῖ ποιεῖν καὶ ἃ μή. Ξε. ἀπ.* 1, 2, 42. (*Ἐκεῖνός ἐστιν ἔλεγχος μέγιστος. Λυ.* 16, 6.) *Τὸν νομέα χρῆναι ἔφη εὐδαίμονα τὰ κτήνη ποιοῦντα χρῆσθαι, ᾗ δὴ προβάτων εὐδαιμονία. Ξε. Κυ.* 8, 2, 14. [Vgl. zu Th. 1, 68, 4.]

A. 1. Diese Pronomina finden sich so auch in einem obliquen Casus, meist als Object bei ihrem Prädicat: ταύτην τέχνην ἔχει = αὕτη (τοῦτο) ἐστὶν (ἡ) τέχνη ἣν ἔχει er hat dies als Gewerbe. Λέγουσι πολλοὶ εἶναι ταύτην ὀρθότητα ὀνομάτων, ξυνθήκην. Πλ. Κρατ. 433. Ταύτην ἐσχάτην δίκην δυνάμεθα παρ' αὐτῶν λαβεῖν. Λυ. 12, 37. Ἰδού, δίδωμι τήνδ' ἐγὼ γυναῖκά σοι. Ἀρ. ἀποσ. 389. Καλὴν ἐκείνην δωρεὰν αὐτῷ δεδώκατε. Λυ. 10, 24. Οἶμαι ἐμὴν ταύτην πατρίδα εἶναι. Ξε. ἀν. 4, 8, 4. Ὡς ἐς πατρίδα ταύτην ἔπεμψαν. Θ. 5, 26, 2. Οὐκ εἰκὸς εἰρήνην αὐτὴν κριθῆναι ἐν ᾗ οὐκ ἀπέδοσαν πάντα. Θ. 5, 26, 2. [vgl. Th. 5, 2, 2.] Ἥνπερ καλοῦμεν μάθησιν ἀνάμνησίς ἐστιν. Πλ. Μέ. 81. — Σωκράτης εἶπεν ὅτι διαγεγένηται πράττων τὰ δίκαια καὶ τῶν ἀδίκων ἀπεχόμενος, ἥνπερ νομίζοι καλ-

λίστην μελέτην ἀπολογίας εἶναι. Ξε. ἀπ. 4, 8, 4. — Θησεὺς τοὺς Ἀθηναίους ἠνάγκασε μιᾷ πόλει ταύτῃ χρῆσθαι. Θ. 2, 15, 2. Ἐν ταύτῃ παγκάλῃ ἀναπαύλῃ τινὶ γεγόναμεν. Πλ. νό. 722. Γνώσεσθαί μ' ἔφη τεκμηρίῳ τῷδε. Πλ. Πρω. 359. Ἡ Οἰνόη ἐτετείχιστο καὶ αὐτῷ φρουρίῳ ἐχρῶντο. Θ. 2, 18, 1. [vgl. 3, 51, 1.] — Μόνης ταύτης γυναικὸς πατὴρ ἠξίωσε κληθῆναι. Ἰσ. 10, 16. Μεγίστου πολέμου συστάντος ἐκείνου Ἀθηναῖοι τῶν ἀριστείων ἠξιώθησαν. Ἰσ. 4, 71.

(A. 2. Auch wenn das Substantiv den Artikel hat, kann das Pronomen sich ihm assimiliren. [z. Th. 3, 28, 2 vgl. 8, 59. 90, 4.] Ἡ ἀρχὴ αὕτη τοῦ παντὸς κακοῦ ἐγένετο. Λυ. 13, 30. Ὁ πονηρὸς οἶνος οὗτός ἐστι Νικοφῶν. Φιλή. Στ. 18, 7. Πολλὴ ἀνάγκη ταύτην εἶναι τὴν αἰσχίστην βοήθειαν. Πλ. Γο. 509. Ἡ μάχη τουτέων τῶν ἀνδρῶν ἥδε. Ἡρ. 7, 85.)

(A. 3. Nicht zu verwechseln sind die Fälle wo οὗτος (ein solcher) Prädicat ist. Οὗτοι ἔστωσαν οἱ σοφισταί. Πλ. Μέ. 92. vgl. zu Her. 2, 135, 2.)

A. 4. Unterbleiben kann die Assimilation (viel gewöhnlicher als im Lateinischen), wenn der Begriff des Dinglichen rein und selbständig hervortreten soll. Ἔδοξεν ἡμῖν τοῦτο εἶναι πόλις. Πλ. πολ. 434. Τοῦτ' εἰσὶν οἱ λόγοι. Δη. 8, 27. — Ταῦτα τῶν ἀποριῶν ἡ μεγίστη. Πλ. σο. 238. Λόγοι ταῦτ' εἰσίν. Δη. 30, 34. Πάντ' ἐστὶ ταῦτ' ἐλπίδες εἰς τὸν ἔπειτα χρόνον οὖσαι. Πλ. Φιλ. 39. Εἶτ' οὐχ ὕβρις ταῦτ' ἐστὶ καὶ πολλὴ τρυφή; Ἀρ. βά. 21. Οὐ λόγων κόμπος τάδε μᾶλλον ἢ ἔργων ἐστὶν ἀλήθεια. Θ. 2, 41, 1. — Τρυφὴ καὶ ἀκολασία καὶ ἐλευθερία, ἐὰν ἐπικουρίαν ἔχῃ, τοῦτ' ἔστιν ἀρετή τε καὶ εὐδαιμονία. Πλ. Γο. 492. Καὶ ὅσα τύραννος ἄρχων γράφει, καὶ ταῦτα νόμος καλεῖται. Ξε. ἀπ. 1, 2, 44. — Οὐ τοῦτ' ἦν εὐδαιμονία, κακοῦ ἀπαλλαγή. Πλ. Γο. 478. Αὐτὸ τοῦτ' ἔστιν ἀρετή, τὸ σώζειν ἑαυτόν τε καὶ τὰ ἑαυτοῦ ὄντα ὁποῖός τις ἔτυχεν. Πλ. Γό. 512. (Τοῦτό ἐστιν ὁ συκοφάντης, αἰτιάσασθαι μὲν πάντα, ἐξελέγξαι δὲ μηδένα. Δη. 57, 34.) — Ἀράχνια λεπτὰ ὑφηνάμενα, ὅ, τι ἂν ἐνταῦθα ἐμπέσῃ, τούτῳ τροφῇ χρῶνται. Ξε. ἀπ. 3, 11, 6. — Πατρὶ πείθεσθαι χρεὼν παῖδας νομίζειν τ' αὐτὸ τοῦτ' εἶναι δίκην. Εὐ. Ἀλω. 5. Τοῦτο ἄνοιαν προσαγορεύω. Πλ. νό. 689. (Φὴς τοῦτ' εἶναι τὴν ἀρετήν; Πλ. Γο. 492. Πῶς οὐκ ἂν δικαίως προδοσίαν τις ὑμῶν τοῦτο κατηγοροίη; Ξε. Ἑλ. 7, 4, 40.) — Ἔγωγέ φημι ταῦτα φλυαρίας εἶναι. Ξε. ἀν. 1, 3, 18. Λογίζεται ἐκεῖνα πάνθ' ἁμαρτίας. Ἀρ. σφ. 745. Ταῦτ' ἔχοντες ἀφορμὴν δύναμιν τῇ πόλει κατασκευάσομεν. Ἀνδ. 3, 39. — Εὐδαιμονίαν τοῦτο νομίζω, τὸ πολλὰ ἔχοντα πολλὰ καὶ δαπανᾶν. Ξε. Κυ. 8, 3, 45. Κτῆσιν τοῦτο ἔφαμεν εἶναι ὅ, τι ἑκάστῳ ὠφέλιμον εἴη εἰς τὸν βίον. Ξε. οἰκ. 6, 4. (Ἡγοῦνται τοῦτ' εἶναι τὴν τέχνην, ἣν ὡς πλείστους προσαγάγωνται. Ἰσ. 13, 9.) Vgl. A. 9.

A. 5. In dieser Weise erscheint zuweilen als Prädicat ein Substantiv wo wir ein Adjectiv gebrauchen, wie jedoch dieselben Substantiva auch ohne τοῦτο sich finden. Ἡ τῶν λόγων χάρις ἔργῳ ζημία γίγνεται. Δη. 4, 38. [Vgl. § 48, 3, 5.] Ἀνάγκη εὐεξίας ἐπιμελεῖσθαι. Ξε. Λακ. π. 4, 6. Συγγνώμη ἀδελφῷ βοηθεῖν. Δη. 19, 238. [z. Th. 5, 88, 1.] Οὐχὶ δέος μὴ σε φιλήσῃ. Ἀρ. ἐκ. 650. Ἔστι δέος μή ποτ' εἰς τὴν αἰτίαν ἐμπέσῃ. Δη. 9, 7. [vgl. z. Arr. An. 5. 13, 3 lat. A.] — Ἔστι μάλιστα τοῦτο δέος μὴ παρασπάσηταί τι τῶν ὅλων πραγμάτων. Δη. 1, 3. Ἤδη κεκλήρωσθ', εἰ τόδ' ἦν ἡμῖν φόβος. Εὐ. Τρῳ. 240. [Pflugk zu Eu. Her. 739.] (Φόβος τὰ θεῖα τοῖσι σώφροσιν βροτῶν. Στ. 5, 3.) — Νῦν καὶ τοῦτο κίνδυνος μὴ λάβωσι προστάτας. Ξε. ἀν. 7, 7, 31. Τοῦτο (πᾶσα) ἀνάγκη. Πλ. Γο. 457. Τόδε ἀνάγκη, μηδὲν εἶναι ἐκτὸς τοῦ ἑνός τε καὶ τῶν ἄλλων. Πλ. Παρ. 151. Ἔστι ταῦτα (κομιδῇ) γέλως, μᾶλλον δ' αἰναισχυντία δεινή. Δη. 19, 72. Πῶς ταῦτ' ἐστὶ πρόνοια; Λυ. 4, 7. [Vgl. z. Th. 2, 44, 2. 65, 4. 6, 16, 3.]

[A. 6. Auch bei persönlichen Begriffen erscheint τάδε, z. B. οὐκ ἔσθ' Ἕκτωρ τάδε (Εὐ. Ἀνδρ. 168.) so v. a. τάδε οὐ τὰ ἀμφ' Ἕκτορα πράγματά ἐστιν. Οὐ ξυστραφέντες βουλόμεθα δεῖξαι αὐτοῖς ὅτι οὐκ Ἴωνες τάδε εἰσίν; Θ. 6, 77, 1.[

A. 7. Auch bei Adjectiven tritt die Assimilation zuweilen ein. Πάντων καλλίστη ἐστὶν ἡ σκέψις. Πλ. Γο. 487. [Ἦσαν ζειαὶ αἱ πλεῖσται. Ξε. ἀν. 5, 4, 27.] Τούτῳ πλείστῳ χρήσεται τῷ λόγῳ. Δη. 20, 1. [Τούτῳ καὶ πλείστῳ σίτῳ ἐχρῶντο. Ξε. ἀν. 5, 4, 29.]

A. 8. Das Relativ nimmt, auch wenn es sich auf ein vorhergehendes Nomen bezieht, nicht selten das (etwa verschiedene) Genus des folgenden Prädicats an, wenn dies der übergewichtliche Begriff ist. Ἐγὼ τέχνην οὐ καλῶ ὃ ἂν ᾖ ἄλογον πρᾶγμα. Πλ. Γο. 465. Φίλον, ὃ μέγιστον ἀγαθὸν εἶναί φασιν, οἱ πολλοὶ οὔτε ὅπως κτήσονται φροντίζουσιν οὔθ' ὅπως οἱ ὄντες ἑαυτοῖς σώζονται. Ξε. ἀπ. 2, 4, 2. — Πλείων ἡ σπουδὴ περὶ τὴν ἀρετὴν ἢ περὶ τῆς κτήσεως, ὃν καλοῦμεν πλοῦτον. Ἀρλ. πολ. 1, 5, 3. Φιλίαν ἀλλήλων ἐνεποίει ὁ φόβος, ἣν αἰδῶ εἴπομεν. Πλ. νό. 699. Λόγοι εἰσὶν ἐν ἑκάστοις ἡμῶν ἃς ἐλπίδας ὀνομάζομεν. Πλ. Φιλ. 40.

Τοῦ παμφορωτάτου κτήματος, ὃ καλεῖται φίλος, ἀργῶς καὶ ἀνειμένως οἱ πλεῖστοι ἐπιμέλονται. Ξε. ἀπ. 2, 4, 7. Φόβον εἰςπέμπει μετὰ δίκης, ὃν αἰδῶ καὶ αἰσχύνην, θεῖον φόβον, ὠνομάκαμεν. Πλ. νό. 671. Τὴν διὰ τοῦ στοιχείου ὁδὸν ἔχων ἔγραφεν, ἣν δὴ λόγον ὡμολογήσαμεν. Πλ. Θε. 208. Ἡ πόλις τοῦ μεγίστου νοσήματος οὐ μεθέξει, ὃ διάστασιν ἢ στάσιν ὀρθότερον ἂν εἴη κεκλῆσθαι. Πλ. νό. 744. Φῶς ὁ θεὸς ἀνῆψεν, ὃ δὴ νῦν κεκλήκαμεν ἥλιον. Πλ. Τί. 39. Οἱ αὐτοὶ πολέμιοι ἡμῖν ἦσαν, ὅπερ σαφεστάτη πίστις. Θ. 1, 35, 4. Ἐκεῖθεν μέρη ῥεῖ, ἃ δὴ διὰ ταῦτα ἵμερος καλεῖται. Πλ. Φαῖδ. 251.

A. 9. Substantivirt erscheint das Neutrum des Relativs auch in Verbindung mit Masculinen und Femininen. Τί λέγεις τοῦτο ὃ ἐν πᾶσιν ὀνομάζεις ταχυτῆτα εἶναι; Πλ. Λάχ. 192. Ὃ ἐγώ φημι τὴν ῥητορικὴν εἶναι ἀκήκοας. Πλ. Γο. 465. Ἤδη μανθάνομεν ὃ βουλόμεθα καλεῖν τὴν αἴσθησιν. Πλ. Φι. 34. (Ἣν καλοῦσιν οἱ πλεῖστοι τῶν ἀνθρώπων εἰρήνην, τοῦτ' εἶναι μόνον ὄνομα (δοκεῖ). Πλ. νό. 626.) — Ἐδόκει οἶκος ἀνδρὸς εἶναι ὅπερ κτῆσις. Ξε. οἰκ. 1, 7. Ἔστι θυμὸς ἵππῳ ὅπερ ὀργὴ ἀνθρώπῳ. Ξε. ἱπ. 9, 2. Οἴνου τε μεταβάλλονται καὶ σίτου πρᾶσιν, ὃ δὴ καπηλείαν ἐπονομάζουσιν οἱ πλεῖστοι. Πλ. νό. 849.

8. Die Fragepronomina *τίς, ὅστις* richten sich als Prädicat nach dem Subject, in sofern der Fragende wissen will was für ein Individuum der Gattung er zu denken habe; sie stehen im Neutrum, wenn er wissen will was das Subject als Gegenstand (Ding, Wesen) sei. *Τί φῂς ἀρετὴν εἶναι; Πλ. Μέ.* 71. *Δημοκρατίαν οἶσθα τί ἐστιν; Ξε. ἀπ.* 4, 2, 37. *Σωκράτης διελέγετο σκοπῶν τί καλόν, τί αἰσχρόν· τί σωφροσύνη, τί μανία· τί πόλις, τί πολιτικός. Ξε. ἀπ.* 1, 1, 16. *Τί νομίζεις δῆμον εἶναι; Τοὺς πένητας τῶν πολιτῶν ἔγωγε. Ξε. ἀπ.* 4, 2, 37. *Τί ἂν φαίης τὸν τοῦτο δυνάμενον ὥσπερ τοὺς προτέρους τὸν μὲν μουσικὸν ἔφησθα, τὸν δὲ γραφικόν; τοῦτον δὲ τίνα; Πλ. Κρατ.* 424. *Τί ποτε λέγεις τοὺς βελτίους, ἐπειδὴ οὐ τοὺς ἰσχυροτέρους; Πλ. Γο.* 489. *Ὁ ἥρως τί ἂν εἴη; Πλ. Κρατ.* 398. — *Εἰπὲ ὅ, τι ἡγεῖ ἀνδρίαν εἶναι. Πλ. Λάχ.* 194. *Ὅ, τι ποτὲ ὁ σοφιστής ἐστι, θαυμάζοιμ' ἂν εἰ οἶσθα. Πλ. Πρω.* 312. *Δουλεύομεν θεοῖς, ὅ, τι πότ' εἰσὶν οἱ θεοί. Εὐ. Ὀρ.* 418.

A. 1. Im Deutschen erfordert diese Sprechweise zum Theil eine abweichende Uebersetzung, z. B. τί ἔσται ὁ —; was soll aus dem — werden? τί σοι φαίνεται ὁ —; was scheint dir zu dem —? τί φῶ τὸν —; was soll ich zu dem — sagen? Ἐθαύμαζον τί ἔσοιτο ἡ πολιτεία. Ξε. Ἑλ. 2, 3, 17. Τί σοι φαίνεται ὁ λόγος (ὁ νεανίσκος); Πλ. Φαῖδ. 234. Χαρ. 154. Τί ἐφαίνοντό σοι οἱ λόγοι; Πλ. Εὐθύδ. 304. — Τί σοι δοκεῖ ὁ τοιοῦτος; Ξε. ἀπ. 4, 2, 21. Τούτους τί δοκεῖτε; Ξε. ἀν. 5, 7, 26. Ἀχαιοὺς

τί φῶμεν; Ξε. Ἑλ. 3, 5, 12. Οὐκ ἔχοντες ὅ, τι γένωνται ἐς ὀλιγωρίαν ἐτράποντο. Θ. 2, 52, 2.

A. 2. Der Singular τί kann auch in Verbindungen wie τί ταῦτά ἐστι stehen, wenn man fragt, was die Einzelheiten für eine Gesammterscheinung bilden. [zu Xe. An. 1, 10, 14.] Ἐὰν ὀλίγοι συνελθόντες γράψωσιν ὅ, τι χρὴ ποιεῖν, ταῦτα τί ἐστιν; (Νόμος.) Ξε. ἀπ. 1, 2, 43. Τί τὰ πράγμαθ' ὑμῖν ἐστι τἀν Λακεδαίμονι; Ἀρ. Λυ. 994. Τί ἦν τὰ λεχθέντα καὶ πραχθέντα; Πλ. Φαίδ. 58. (Τίνα δὴ ἦν τὰ μετὰ ταῦτα λεχθέντα; Πλ. Φαίδ. 102.)

A. 3. So finden sich auch andere Singulare substantivirter Neutra von Pronominaladjectiven als Prädicate mit Masculinen oder Femininen wie mit Pluralen verbunden. [Auffallender ist an einigen Stellen τοῦτο ἀληθῆ λέγεις ꝛc., wo ἀληθῆ adverbartig ist.] Οὐ δήπου τοῦτό γε σαφῶς δοκεῖτε εἰδέναι ὡς οὐδέν εἰμ' ἐγὼ ἔτι, ἐπειδὰν τοῦ ἀνθρωπίνου βίου τελευτήσω. Ξε. Κυ. 8, 7, 17. Πένης οὐδὲν εὐγενὴς ἀνήρ. Εὐ. Φοί. 442. Τοῖς οὐδὲν οὖσιν οὐδὲ εἷς ὅλως φθονεῖ. Διον. 7. Τὸν υἱὸν χρὴ μεταβαλόντα τοὺς τρόπους εἶναι πανοῦργον, ἄδικον, ὑγιὲς μηδὲ ἕν. Ἀρ. πλ. 36. Καλεῖ γυναῖκας τὰς λάλους, τὰς οὐδὲν ὑγιές, τὰς μέγ' ἀνδράσιν κακόν. Ἀρ. θε. 393. Τί συνεσημαίνετο τὰ μηδὲν ὑγιὲς ὄντα μηδ' ἀληθῆ γράμματα; Δη. 41, 22. Πάντα ταῦτα ταὐτόν τι λέγω. Πλ. Μέ. 75. [Τοῦτο ἀληθῆ λέγεις. Πλ. Λάχ. 186. Τοῦτο δοκεῖς μοι ἀληθῆ λέγειν. Πλ. Μέ. 98. (Τοῦτο σκεπτέον εἰ ἀληθῆ λέγεις. Πλ. πολ. 339.) Ἀληθῆ δοκῶ σοι. Πλ. πολ. 567. Ἀληθῆ ἔδοξε (τις). Πλ. Μενέξ. 243. Πάνυ σοι ἀληθῆ δοκῶ. Πλ. Φαῖδ. 228. (Καὶ ταῦτ' ἀληθῆ δρᾶν νοεῖς; Σο. Φι. 921.)]

§ 62. Verbum.

Vorer. Οὐδεμίαν οὔτε οὕτως οὔτ' ἐκείνως πρᾶξιν οὐδ' ἀπραξίαν οὐδὲ οὐσίαν ὄντος οὐδὲ μὴ ὄντος δηλοῖ τὰ φωνηθέντα, πρὶν ἄν τις τοῖς ὀνόμασι τὰ ῥήματα κεράσῃ, τότε δ' ἥρμοσέ τε καὶ λόγος ἐγένετο εὐθὺς ἡ πρώτη συμπλοκή, σχεδὸν τῶν λόγων ὁ πρῶτος καὶ σμικρότατος. Πλ. σο. 262, c.

1. Subject und Prädicat, auch wenn sie noch eine Bestimmung bei sich haben, bilden oft bloß zusammengestellt, ohne Vermittelung eines Verbums, einen Satz; meist jedoch nur wenn die dritte Person bezeichnet wird. [Reg. z. Kr.s Ausgaben unter *εἶναι*.]

A. 1. Gewöhnlich ergänzt man hier ἐστίν oder, wenn das Subject ein männlicher oder weiblicher Plural ist, εἰσίν. Τῶν φρονημάτων ὁ Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων. Εὐ. Ἡρ. 388. Πλεονεξία μέγιστον ἀνθρώποις κακόν. Μέ. 549. Τῷ τεκόντι πᾶν φίλον. Σο. ΟΚ. 1108. Ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα. Σο. Αἴ. 665. — Οὐκ ἀνδρὸς ὅρκοι πίστις, ἀλλ' ὅρκων ἀνήρ. Αἰσ. ἀποσ. 276. — Φιλότεκνόν πως πᾶν γυναικεῖον γένος. Εὐ. Φοί. 356. Τὸ μὴ κακῶς φρονεῖν θεοῦ μέγιστον δῶρον. Αἰσ. Ἀγ. 927. Γυνὴ λέγουσα χρήσθ' ὑπερβάλλων φόβος. Μέ. 716. [Neben einem da stehenden Verbum, wie Th. 1, 107, 3. 138, 4; selbst in abhängigen Sätzen, wie 1, 91, 1. 5, 10, 2. 7, 45. vgl. A. 5 u. 6.] So fehlt ἐστίν auch beim Da. § 48, 3, 5.

A. 2. Statthaft ist diese Auslassung auch wenn das Subject ein nicht durch den Artikel substantivirter Inf. oder ein relativer Satz ist; wenn als Prädicat ein adjectivartiges Adverbium (2 A. 3) oder ein Ge. (§ 47, 6) eintritt; über das Particip jedoch § 56, 3, 5. Σοφόν τοι κἂν κακοῖς ἃ δεῖ φρονεῖν. Εὐ. Ἑκ. 228. Ἃ τυγχάνω ἀκηκοὼς φθόνος οὐδεὶς λέγειν. Πλ. Φαίδ. 61. — Μακάριος ὅστις οὐσίαν καὶ νοῦν ἔχει. Μέ. μο. 340. — Ἀνδρὸς τὰ προσπίπτοντα γενναίως φέρειν. Μέ. μο. 13. — Φίλου κακῶς πράξαντος ἐκποδὼν φίλοι. Σο. ἀποσ. 773. Χωρίς τό, τ' εἰπεῖν πολλὰ καὶ τὰ καίρια. Σο. ΟΚ.

808. Θεοὶ ὅταν τιμῶσιν, οὐδὲν δεῖ φίλων· ἅλις γὰρ ὁ θεὸς ὠφελῶν, ὅταν θέλῃ. Εὐ. Ἡρ. μ. 1338.

A. 3. So bilden unpersönliche Ausdrücke wie εἰκός, δῆλον, οἷόν τε u. ä. allein einen Satz. Seltener noch als bei diesen erscheint ἐστί bei ἀνάγκη [vgl. Herm. zu Soph. Trach. 294] u. ä. vgl. § 61, 7, 5 und den Verbalien auf τέος vgl. § 56, 18 und A. 3. Ganz adverbial geworden sind ὅσαι ἡμέραι u. ä. (§ 51, 13, 15). Hieher gehört auch die Formel οὐδὲν οἷον z. B. ἀκούειν nichts ist so (gut) als hören, am besten ist es zu hören. Selbst ἔστω u. ἂν εἴη ist in einzelnen Fällen zu ergänzen. Πάντα δι' ἀρσένων γυναιξὶ πράσσειν εἰκός, αἵτινες σοφαί. Εὐ. Ἰκ. 40. Δῆλον ὅτι τοῦ ὁρᾶν ἕνεκα ὀφθαλμῶν δεόμεθα. Ξε. συ. 5, 5. Τῷ ἀληθεῖ χαλεπαίνειν οὐ θέμις. Πλ. πολ. 480. Φέρειν ἀνάγκη τὰς παρεστώσας τύχας. Εὐ. Ὀρ. 1024. — Ἐν τοῖς κακοῖς πολλή γ' ἀνάγκη κἀπιτηδεύειν κακά. Σο. Ἠλ. 308. Πᾶσα ἀνάγκη τόνδε τὸν κόσμον εἰκόνα τινὸς εἶναι. Πλ. Τι. 29. Πᾶσα ἀνάγκη μίαν εἶναι τὴν ἀληθῆ ὁδόν. Λουκ. Ἑρμότ. 27. — Οὐχ οἷόν τε ἄνευ δικαιοσύνης ἀγαθὸν πολίτην γενέσθαι. Ξε. ἀπ. 4, 2, 11. (Οἱ ἄδικοι οὐδὲν πράττειν μετ' ἀλλήλων οἷοί τε. Πλ. πολ. 352.) Ἀδύνατον πολλὰ τεχνώμενον ἄνθρωπον πάντα καλῶς ποιεῖν. Ξε. Κυ. 8, 2, 5. Ἡμῖν οὐ βιαστέον τύχην. Εὐ. Ῥησ. 584. Ὁ ἐχθρὸς ἡμῖν ἐς τοσόνδ' ἐχθαρτέος ὡς καὶ φιλήσων αὖθις. Σο. Αἴ. 680. — Οἱ Λακεδαιμόνιοι ἦρχον τῶν Ἑλλήνων οὐ πολὺς χρόνος ἐξ οὗ. Ἰσ. 5, 47. Ἥλικα ὁ παλαιὸς λόγος τέρπειν τὸν ἥλικα. Πλ. Φαῖδ. 240. — Τοῖς θεοῖς μεγίστη χάρις (erg. ἔστω), ὅτι ἔδοσαν ἡμῖν τυχεῖν ὧν ἐνομίζομεν ἄξιοι εἶναι. Ξε. Κυ. 7, 5, 72. [vgl. An. 3, 3, 14.] — Ἅλις λόγων. Σο. ΟΚ. 1016. Τούτων μὲν ἅλις, ἅδην. Πλ. πολιτ. 287. Εὐθύφ. 11. Ταῦτα μὲν οὖν οὕτως. Πλ. Πρω. 355. Ἰσ. 5, 95. — Αἰσχρὸν (erg. ἂν εἴη), εἰ πύθοιτό τις, λόγοις κολάζειν ᾧ βιάζεσθαι παρῇ. Σο. Αἴ. 1159. [vgl. Th. 5, 100.]

A. 4. Selten fehlt εἶναι in abhängigen Sätzen; am seltensten wo es gesetzt in einer andern Form als der dritten Person des Indicativs des Präsens stehen müßte. Οἶδα ὅτι χρήματα ἡδὺ κτῆμα. Ξε. συ. 4, 14. Ἱππέας ἔπεμψεν ἐροῦντας ὅτι ἐν ὁδῷ ἤδη πάντες. Ξε. Κυ. 5, 3, 54. Οὐδεὶς πώποτε ἐπῆλθεν ἱκανῶς τῷ λόγῳ ὡς ἀδικία μέγιστον κακῶν. Πλ. πολ. 366. (Ὑπώπτευον ὑμᾶς τῷ τε μεμονῶσθαι καὶ ὅτι βάρβαροι οἱ ἐπιόντες ἔκπληξιν ἔχειν. Θ. 4, 126, 1.) — Ἐξ Ἀκάνθου καὶ Ἀπολλωνίας, αἵπερ μέγισται τῶν περὶ Ὄλυνθον πόλεων, πρέσβεις ἀφίκοντο. Ξε. Ἑλ. 5, 2, 11. Ὁρᾷς Ὀδυσσεῦ τὴν θεῶν ἰσχὺν ὅση; Σο. Αἴ. 118. Τὰ εἰς τὴν πόλιν καὶ ὅσα εἰς ὑμᾶς ὡς δύναμαι λαμπρότατα ποιῶ. Δη. 45, 78. [z. Th. 1, 16. 4, 48, 5. 8, 70, 1.] Ἕως ἔτ' ἐν ἀσφαλεῖ, φυλάξασθε. Δη. 19, 262. Ἐμοὶ θανάτου μέλει, εἰ μὴ ἀγροικότερον εἰπεῖν, οὐδ' ὁτιοῦν. Πλ. ἀπ. 32. (Οὐ διὰ τοῦτο ἀποκτεῖναι κελεύσω, εἰ μὴ ξυμφέρον. Θ. 3, 44, 1.) [Bei εἰ ob Her. 2, 38, 1.] — (Δεῖ οὐσίαν κεκτῆσθαι μηδεμίαν μηδένα ἰδίαν, ἂν μὴ πᾶσα ἀνάγκη. Πλ. πολ. 416. Μηδὲν ἄγων ὧν ἂν αὐτοῖς χρεία κενὸς ἄπεισιν. Πλ. πολ. 370, d. Κελεύει πέμψαι ἄνδρας οἵτινες χρηστοὶ καὶ πιστῶς ἀπαγγελοῦσιν σκεψάμενοι. Θ. 1, 91, 1. Ὡς ἂν οἷόν τε διὰ βραχυτάτων ἐρῶ. Λυ. 24, 4. Ἔστ' ἂν ἔκδημος Θησεύς, ἄπειμι. Εὐ. Ἱπ. 659. — Φιλοσοφητέον ὡμολογήσαμεν. Πλ. Εὐθύδ. 288.) Ueber die Ergänzung bei ὅστις Schäfer z. L. Bos p. 604.

A. 5. Die erste und zweite Person der Copula fehlt überhaupt selten (vgl. Seidler zu Eur. El. 37); öfter jedoch bei ἕτοιμος, das selbst ohne ἐγώ von der ersten Person gebraucht wird. Doch wird auch dem ἕτοιμος oft εἰμί beigefügt. [z. Her. 1, 42 vgl. Alexis 108, 25.] Φιλήκοος ἔγωγε καὶ ἡδέως ἄν τι μάθοιμι. Πλ. Εὐθύδ. 304. Σὺ οὐδέπω ταπεινὸς οὐδ' εἴκεις κακοῖς. Αἰσ. Προ. 320. Οὔτε ἡμεῖς ἔτι ἐκείνου στρατιῶται, οὔτε ἐκεῖνος ἔτι ἡμῖν μισθοδότης. Ξε. ἀν. 1, 3, 9. — Εἰ ψυχρὰ λέγω, σὺ αἴτιος, πράγματά μοι παρέχων. Ξε. συ. 6, 7. Σεαυτὸν οὐκ ἔχεις εὑρεῖν ὁποίοις φαρμάκοις ἰάσιμος. Αἰσ. Προ. 474. — Αἴγισθ' ἕτοιμοι κοὐκ ἀπαρνούμεθ' ἄναξ. Εὐ. Ἠλ. 796. Εἰ ἃ συμφέρει χωρὶς κολακείας ἐθελήσετε ἀκούειν, ἕτοιμος λέγειν. Δη. 9, 4. — Χρὴ φίλοις ἐπαρκεῖν, ὡς ἕτοιμός εἰμ' ἐγώ. Εὐ. Ἑκ. 985. vgl. Xen. An. 4, 6, 17.

(A. 6. Auch das Imperfect fehlt zuweilen. [Reg. z. Th. u. Her. u. εἶναι u. z. Xe. An. 1, 2, 18.] Νὺξ ἐν μέσῳ καὶ παρῆμεν τῇ ὑστεραίᾳ εἰς τὴν ἐκκλησίαν. Αἰ. 3, 71. Ἤρετο εἰ οἱ τεθνεῶτες αὐτῶν καλοὶ κἀγαθοί. Θ. 4, 40, 2. — Ἐπειδὴ φιλόσοφοι οἱ τοῦ ἀεὶ κατὰ ταὐτὰ ὡσαύτως ἔχοντος δυνάμενοι ἐφάπτεσθαι, τίνας δὴ δεῖ πόλεως ἡγεμόνας εἶναι; Πλ. πολ. 484.)

2. Verbunden werden Subject und Prädicat am gewöhnlichsten durch *εἶναι* sein und *γίγνεσθαι* werden; daneben durch *καθίστασθαι, καταστῆναι, καθεστάναι,* exstare, exstitisse, *ὑπάρχειν,* und *πεφυκέναι, φῦναι* von Natur beschaffen sein, bei Dichtern oft nur ein kräftigeres *εἶναι.* *Εἷς ἐστὶ δοῦλος οἰκίας ὁ δεσπότης. Μέ. μο.* 168. *Τῆς ἐπιμελείας δοῦλα πάντα γίγνεται. Μέ. μο.* 494. *Γίγνου ἐς ὀργὴν μὴ ταχὺς ἀλλὰ βραδύς. Γν.* 354. — *Ἅπαντα δοῦλα τοῦ φρονεῖν καθίσταται. Μέ.* 800. *Νῦν πολὺ δεινότερον καθέστηκε τὸ δοκεῖν εὐπορεῖν ἢ τὸ φανερῶς ἀδικεῖν. Ἰσ.* 15, 160. *Ἡ πόλις ἀντὶ τοῦ πόλις εἶναι φρούριον κατέστη. Θ.* 7, 28, 1. *Παίδευμα Ἔρως ἀρετῆς ὑπάρχει. Εὐ. ἀποσπ. ἀδ.* 113. — *Τὸν εὐτυχοῦντα χρὴ σοφὸν πεφυκέναι. Εὐ. Ἀλκμή.* 5. [*Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ. Εὐ. Φοί.* 469.] — (*Αἱ στῆλαι παραδείγματα ἑστᾶσι τοῖς βουλομένοις τι ποιεῖν ὑμᾶς ἀγαθόν. Δη.* 20, 64. *Οἱ γυμναστικῇ ἀκράτῳ χρησάμενοι ἀγριώτεροι τοῦ δέοντος ἀποβαίνουσιν. Πλ. πολ.* 410. [z. Th. 3, 53, 2.] *Τὸ πρᾶγμα ἀτύχημα συμβέβηκεν. Δη.* 22, 17.) Ueber *κωλυτὴς γίγνεται* ꝛc. z. Th. 3, 23, 3. 8, 50, 3.

A. 1. Ueber τυγχάνειν ꝛc. § 56, 4 ff., Verba der Vorstellung und Aeußerung § 55, 4, 4, der Wahl u. a. § 57, 3, 1 ff. § 61, 7, 1. (ἀκούειν § 46, 12, 1.)

A. 2. Εἶναι kann auch selbst das Prädicat enthalten: existiren, leben von Menschen; bestehen, vorhanden sein, statt finden von Sachen. Eben so γίγνεσθαι: geschehen, eintreten oder zu Theil werden, betragen [zu Xe. An. 1, 2, 9]. vgl. § 48, 3, 1 u. 2. Ὅτ' οὐκέτ' εἰμί, τηνικαῦτ' ἄρ' εἴμ' ἀνήρ. Σο. ΟΚ. 393. Ἐὰν ἀποθάνῃς, αὖθις ἐξ ἀρχῆς ἔσῃ, ἔσῃ δ' ὅ, τι ἂν βούλῃ, κύων, πρόβατον, τράγος. Μέ. 222. — Λειτουργήσουσιν, ἄνπερ ἡ πόλις ᾖ, πολλοί. Δη. 20, 22. Οἴνου γε μηκέτ' ὄντος οὐκ ἔστιν Κύπρις. Εὐ. Βάκ. 773. Τῶν ὀρθῶς δοθέντων ἀφαίρεσις οὐκ ἔστιν. Πλ. Φιλ. 19. — Νόμῳ τὰ πάντα γίγνεται καὶ κρίνεται. Μέ. μο. 368. Ueber γίγνεται τὰ ἱερά zu Xe. An. 2, 2, 3.

A. 3. Daher erscheinen bei εἶναι und γίγνεσθαι auch Adverbia; ὀρθῶς ἐστιν es findet auf richtige Weise statt, verhält sich richtig; καλῶς γίγνεται es geschieht, erfolgt, tritt ein auf gute Weise. Ὀρθῶς ἐστι τῶν νέων πρῶτον ἐπιμεληθῆναι ὅπως ἔσονται ὅτι ἄριστοι. Πλ. Εὐθύφ. 2. Καλῶς ἔσται, ἢν θεὸς θέλῃ. Ἀρ. πλ. 1188. Ξε. ἀν. 7, 3, 43. Ὁποτέρως ἔσται ἐν ἀδήλῳ κινδυνεύεται. Θ. 1, 78, 2. — Τίς ὁ τρόπος ἡμῖν γιγνόμενος ὀρθῶς γίγνοιτ' ἄν; Πλ. νό. 968. Πότερον αὐτὰ καλλιόνως οὕτως εἶναι φαῖμεν ἂν ἢ καθάπερ νῦν γίγνεται γιγνόμενα; Πλ. νό. 660. Μὴ οὕτω γένοιτο κακῶς τῇ πόλει. Δη. 19, 285.

A. 4. Einige, meist locale Adverbia sind mit εἶναι oder γίγνεσθαι verbunden als indeclinable Adjective zu betrachten [zu Xe. An. 2, 5, 36], wie denn hier auch ἐστί fehlen kann (1 A. 2), was in den Fällen 2 A. 2 u. 3 unstatthaft ist (mit Ausnahme des Falles § 48, 3, 4). Vgl. 66, 1, 5 u. 6. Sogar als oblique Casus finden sich solche Adverbia. Ἑώρα οἷος ὁ κίνδυνος καὶ ὡς ἐγγὺς ἤδη ἦν. Θ. 7, 69, 2. Οὐκ ἔστιν ὄνειδος ὅτου πορρωτέρω ἐστὶν ἡ πόλις ἡμῶν ἢ τοῦ φθονερὰ δοκεῖν εἶναι. Δη. 20, 140. Χωρὶς σοφία ἐστὶν ἀνδρίας. Πλ. Λάχ. 195. Ἤδη ἦν ὀψέ. Θ. 1, 50, 5. [zu 4, 93, 1.] — Οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά. Εὐ. Αἰόλ. 2, 3. — Χρὴ τοὺς βουλομένους

ἐλευθέρους εἶναι τὰς ἐκ τῶν ἐπιταγμάτων συνθήκας φεύγειν ὡς ἐγγὺς δουλείας οὔσας. Ἰσ. 6, 51. Ἆρ' οὐ προςήκει ψυχῇ τὸ παράπαν ἀδιαλύτῳ εἶναι ἢ ἐγγύς τι τούτου; Πλ. Φαίδ. 80. Ἡ βοὴ πλείων τε ἐγίγνετο καὶ ἐγγύτερον. Ξε. ἀν. 4, 7, 23. Ἐφοβοῦντο μὴ σφίσι δίχα γιγνομένοις ῥᾷον μάχωνται. Θ. 6, 100, 1. Κακὸν χρημάτων ὄντων ἅλις φειδοῖ πονηρᾷ μηδέν' εὖ ποιεῖν βροτῶν. Εὐ. Ἰνώ 16. (Μέθες με. λύπας ἅλις ἔχων ἐλήλυθα. Εὐ. Ἑλ. 589. Ἅλις ἔχω τοῦ δυςτυχεῖν. Εὐ. Ὀρ. 240.)

3. Nicht fehlen kann in der Regel das Verbum, wenn es das Prädicat mit enthält. Einige Verba jedoch, besonders so allgemeine wie die des Gehens und Kommens, des Thuns und Sprechens, sind bei gewissen Verbindungen so wesentlich, daß sie, wenn auch bei lebhafter Aeußerung oder der Kürze halber nicht hinzugefügt, doch leicht von selbst hinzugedacht werden können.

A. 1. So fehlen Verba des Gehens oder Kommens bei Adverbien oder Präpositionen, besonders wenn der Satz entweder fragend oder imperativisch ausgesprochen ist. Ὦ φίλε Φαῖδρε ποῖ δὴ καὶ πόθεν; Πλ. Φαίδ. 227. Ἄρτι ὦ Τερψίων ἢ πάλαι ἐξ ἀγροῦ; Πλ. Θε. 142. — Δεῦρο Δημόσθενες. Δη. 56, 50. Θεαίτητε δεῦρο παρὰ Σωκράτη. Πλ. Θε. 144. — Ἐς κόρακας, ὡς ἄγροικος εἶ καὶ δυσμαθής. Ἀρ. νε. 646. Οὐκ ἐς κόρακας (erg. ἐῤῥήσεις); καταρᾷ σὺ τῷ διδασκάλῳ; Ἀρ. νε. 871. Ἐς κεφαλήν σοι. Ἀρ. πλ. 526. εἰρ. 1063. Πλ. Εὐθύδ. 283. Τὰ παραγγέλματα ἔστω τοιάδε· ἄγε, εἰς τὰ ὅπλα· ἄνω τὰ δόρατα, κάθες τὰ δόρατα. Ἀῤῥ. Τακ. 71. — Ἰλλὸς γεγένημαι προςδοκῶν, ὁ δ' οὐδέπω. Ἀρ. θε. 846.

A. 2. Kaum noch ergänzte man ein ἰέναι in (vereinzelten) Formeln wie παραγγέλλειν εἰς τὰ ὅπλα zu den (dem Ergreifen der) Waffen commandiren ꝛc., oder bei εἰς τὸ βαλανεῖον βούλομαι ꝛc. [zu Xe. An. 1, 5, 13 u. 5, 6, 31 lat. A. vgl. Th. 3, 20, 2.] Κλέαρχος εὐθὺς παραγγέλλει εἰς τὰ ὅπλα. Ξε. ἀν. 1, 5, 13. Ἐκέλευσαν ἐπὶ τὰ ὅπλα. Ξε. Ἑλ. 2, 3, 20. Ἐκέλευσεν ἐπὶ τοὺς Σκιρίτας, τοὺς ἕνδεκα ἐπὶ τὸν Θηραμένην. Θ. 5, 72, 1. Ξε. Ἑλ. 2, 3, 54. Ὀρθὴν κελεύεις (erg. ὁδὸν ἰέναι); Ἀρ. ὄρ. 1. — Ἐγὼ μὲν νῦν ἐς τὸ βαλανεῖον βούλομαι. Ἀρ. βά. 1279. Λοιπόν ἐστι χωρίον, οἷ σπουδὴν ἔχω. Ἀρ. Λυ. 288. Φανερὸς ἦν οἴκαδε παρασκευαζόμενος. Ξε. ἀν. 7, 7, 57.

A. 3. In einigen Fällen denkt man den Begriff φέρειν, wiewohl sie z. Th. auch bloßer Ausruf sind. Ὕδωρ κατὰ χειρός. Ἀρ. σφ. 1216. Ὕδωρ, ὕδωρ ὦ γείτονες. Ἀρ. θε. 241. Ἀνεβόα τις τῶν ξένων, βοήθεια. Πολ. 13, 8, 5.

A. 4. Bei Adverbien kann der Begriff des Stattfindens oder Sich verhaltens, des Geschehens oder Thuns ausgelassen werden. Ταῦτα μὲν οὖν δὴ οὕτως (ταύτῃ). Πλ. πολ. 360. νό. 676. Ὡς εὐτυχῶς, ὅτι οὐκ ἐλήφθην ἔνδοθεν. Ἀρ. ἱπ. 101. Εὖ γε, νὴ τὴν Ἥραν, ὅτι ὀρθοῖς τὸν πατέρα. Πλ. Λάχ. 181.

A. 5. Der unbestimmte Begriff des Geschehens, Machens, Thuns schwebt auch zuweilen bei einem bloßen Subject oder Object vor (δρᾷ, δράσω ꝛc.), zum Theil gedacht in sofern er in einem folgenden Verbum mit enthalten ist. Vgl. § 51, 7, 14. Ueber Auslassung eines solchen Begriffes bei Negationen s. die Beispiele § 64, 5, 4. Σὺ τῇ θύρᾳ πρόςκεισο. Ταῦθ' ὦ δέσποτα. Ἀρ. σφ. 142. Τὰς κόμας ἀποκερεῖ. Ἔοικεν, ἦν δ' ἐγώ. Οὔκ, ἄν γε ἐμοὶ πείθῃ. Ἀλλὰ τί; Πλ. Φαίδ. 89. Μηδὲν ἄγαν. Σόλ. Στ. 3, 79, β. — Τί δοκοῦσιν ὑμῖν ὦ ἄνδρες; ἆρά γε ὁμοίως ὑμῖν περὶ τῶν ἀδικούντων γιγνώσκειν; Λυκ. 119. Τί ὁ πατὴρ αὐτοῦ Μέλης; ἢ πρὸς τὸ βέλτιστον βλέπων ἐδόκει σοι κιθαρῳδεῖν; Πλ. Γο. 502. Τί ὁ ἀνδρεῖος; οὐκ ἐπὶ τὸ κάλλιον ἔρχεται; Πλ. Πρω. 360. — Τί προςῆκεν; τὰ μὲν χρήματα ἔχειν τὴν πόλιν, τὸν δ' ἀποστεροῦντα κολάζειν. Δη. 24, 14. — Τί τοὺς κινδυνεύειν μέλλοντας; ἆρα τοὺς φιλοτιμοτάτους προτακτέον; Ξε. ἀπ. 3, 1, 10.

A. 6. Bei dem ankündigenden τί tritt als Subject gewöhnlich der Accusativ ein, wenn ihm das den folgenden Infinitiv regierende Verbum, z. B. χρή, gleich beigefügt ist. Τί χρὴ τὸν μέτριον πολίτην; τὰ ἑαυτοῦ πειρᾶσθαι σώζειν. Ἰσαῖ. 7, 40. Τί προςήκει τὸν στρατηγὸν τὸν ἀγαθόν; στρατόπεδον συναγαγεῖν ἁρμόττον τῷ πολέμῳ. Ἰσ. 15, 119. — Τί χρὴ τὸν τῶν μεγίστων ἐπαίνων ἄξιον; οὐ μετὰ τῶν βελτίστων ἐκ τῆς πόλεως στρατευόμενον ἀριστείων ἀξιοῦσθαι; Ἰσ. 16, 30. (Ἀλγεῖς τί δ' ἡμᾶς; παιδὸς οὐκ ἀλγεῖν δοκεῖς; Εὐ. Ἑκ. 1256.)

A. 7. Ebenfalls ein allgemeiner Begriff wie (γίγνεται oder) ποιεῖ kann bei den Formeln ἄλλο τι ἤ — und οὐδὲν ἄλλο ἤ — (wie bei nihil aliud quam) als vorschwebend gedacht werden. So auch in der Frage τί ἄλλο ἤ —; und ἄλλο τι ἤ —; (Ὁ νομοθέτης οὐκ ἄλλο ἢ πρὸς τὴν μεγίστην ἀρετὴν μάλιστα βλέπων θήσει τοὺς νόμους. Πλ. νό. 630.) Τὰ πλοῖα ἐνέπρησαν ὅπως ἀπόγνοια ᾖ τοῦ ἄλλο τι ἢ κρατεῖν [τῆς γῆς]. Θ. 3, 85, 2. Οὐδὲν ἄλλ' ἢ συμβουλεύουσιν ἡμῖν πάλιν περὶ ἀνδραποδισμοῦ κινδυνεύειν. Ἰσ. 8, 37. (Οὐδὲν ἄλλο ποιοῦσιν ἢ καθιστᾶσι τὴν πόλιν εἰς τὸν αὐτὸν τρόπον. Δη. 8, 10.) Οὐδὲν ἄλλο ἢ πόλει ἐκπεπολιορκημένῃ ἐῴκεσαν ὑποφευγούσῃ. Θ. 7, 75, 4. — Ἄλλο τι ἢ τούτοις οὔτε αἱ ἐπιστῆμαι χρήματά εἰσιν οὔτε τὰ κτήματα; Ξε. οἰκ. 1, 16. Οἱ ἀγαθοὶ ἄλλο τι ἢ φρόνιμοι; Πλ. Κρατ. 398. Ἄλλο τι ἢ φαίης ἂν ἀναγκαῖον εἶναι φιλοσοφεῖν; Πλ. Εὐθύδ. 282. Τί ἄλλο οὗτοι ἢ ἐπεβούλευσαν; Θ. 3, 39, 2 u. dort die A.

A. 8. Ἄλλο τι erscheint auch als Fragepartikel, eig. für sich stehend, wie unser: nicht wahr? [Herm. z. Vig. 110.] Ἄλλο τι ὁ ἀγαθὸς τῷ ἀγαθῷ μόνῳ φίλος; Πλ. Λυ. 222. Ἄλλο τι περὶ πολλοῦ ποιεῖ ὅπως ὡς βέλτιστοι οἱ νεώτεροι ἔσονται; Πλ. ἀπ. 24.

(A. 9. Auch der Begriff des Zu Theil Werdens fehlt zuweilen. (Vgl. über ἵνα τίς; und ὅτι τί; § 51, 17, 8.) Ἕστηκας ἀργός; Οὑτοσί σοι κόνδυλος. Ἀρ. εἰρ. 256. Δῆλον ἐπὶ τίσι φθονοῦσι καὶ τίσιν, εἴπερ ἐστὶν ὁ φθόνος λύπη τις, μὴ ἵνα τι αὐτῷ, ἀλλὰ δι' ἐκείνους. Ἀρλ. ῥητ. 2, 10.)

(A. 10. Die Pronomina τοῦτο, (τόδε,) ἐκεῖνο finden sich auch als das Folgende ankündigender Ausruf ohne Verbum, wo man ganz allgemein denken kann: findet statt oder ist zu betrachten. So καίτοι καὶ τοῦτο Dem. 4, 11. 18, 123, καὶ γὰρ (αὖ) τοῦτο 19, 314. 21, 167. 56, 40, ἔτι δὲ καὶ τόδε Xen. Hell. 7, 1, 4, ἀλλ' ἐκεῖνο Plat. Hipp. 283, ἐπεὶ κἀκεῖνο Dem. 44, 55, ἀλλ' ἕτερον Lys. 13, 79. Ueber τοῦτ' ἐκεῖνο § 51, 7, 11; so auch τόδ' ἐκεῖνο Eur. Med. 98.)

A. 11. In der Formel τί τοῦτο was weiter? ein διαφέρει (statt ἐστί) zu ergänzen ist eig. nicht richtig. Ἄνδρα οὔπω εἶδες ἀνόητον χαίροντα; Οἶμαι ἔγωγε· ἀλλὰ τί τοῦτο; Πλ. Γο. 497.

A. 12. Oft schwebt ein Begriff des Sprechens vor, besonders bei Negationen. Περὶ μὲν τούτων κατὰ σχολήν; Δη. 24, 187. Ἀλλ' οὔπω περὶ τούτων (erg. λεκτέον). Δη. 18, 99. Ἀλλὰ μήπω τοῦτο, ταῦτα (erg. εἰρήσθω). Δη. 21, 90. Σύ γε μηδὲν ἔτι πρὸς ταῦτα (erg. λέξῃς). Ἀρ. βά. 117. Μή μοι μυρίους ξένους (erg. λέξητε). Δη. 4, 19. Οὐκ ἂν γενοίμην Ἡρακλῆς ἄν. Μηδαμῶς (τοῦτο λέξῃς). Ἀρ. βά. 581. — Φίλιππος τοῖς συνέδροις χαίρειν (erg. λέγει). Δη. 18, 157. — Ἑνὶ λόγῳ (erg. εἰπεῖν), περὶ ὧν μὴ οἶδέ τις οὐκ ἔστι ψευδὴς δόξα. Πλ. Θε. 194. [Herm. De ell. 111 s.] Ἑνὶ κεφαλαίῳ, μόνος τῶν πάντων στρατηγῶν (Χαβρίας) οὐ πόλιν, οὐ ναῦν, οὐ στρατιώτην ἀπώλεσεν οὐδένα. Δη. 20, 78. Vgl. 48, 6, 2 u. 15, 17.

A. 13. In Sprüchwörtern und Inschriften giebt es noch manche herkömmliche Auslassung von Verben, die sich sehr leicht von selbst ergeben. Ὗς τὴν Ἀθηνᾶν (διδάσκει). Γλαῦκ' εἰς Ἀθήνας (φέρειν). Ἐξ ὀνύχων λέοντα (γιγνώσκειν). Παροι. Τὸ τρίτον τῷ σωτῆρι. Πλ. Χαρ. 167. [Heindorf zu Plat. Charm. 32 u. Stallbaum z. Phil. 160.] — Οἱ σύμμαχοι ἀριστεῖον τῇ Ἀθηνᾷ (erg. ἀνέθεσαν). Δη. 22, 72. Ἀθηναῖοι ἀπὸ Μήδων. Αἰ. 3, 116. Οἱ σύμμαχοι τὸν δῆμον ἀνδραγαθίας ἕνεκα καὶ δικαιοσύνης (erg. ἐστεφάνωσαν). Δη. 22, 72.

4. Mit diesen eig. elliptischen Auslassungen des Verbums nicht zu verwechseln sind die äußerst häufigen Fälle wo zu einem Begriffe ein Verbum aus einem vorhergehenden, selten aus einem folgenden, zu entnehmen ist. *Μέγα τοῖς ἠτυχηκόσιν, ὥσπερ ἐγώ, δυνηθῆναι περὶ ὧν πεπόνθασιν εἰπεῖν.* *Δη.* 45, 1. (*Ἔξεστιν, ὥσπερ Ἡγέλοχος, ἡμῖν λέγειν.* *Ἀρ. βά.* 303. vgl. zu Thuk. 5, 59, 2 u. Bekker Hom. Blätter S. 265 ff.

A. 1. Die so zu ergänzende Form kann von der da stehenden nicht bloß in der Person, im Numerus und Modus, sondern selbst im Tempus verschieden sein. Zuweilen ist auch aus einem Compositum ein Simplex zu ergänzen. [Reg. zu Kr.s Ausgaben u. Ergänzung und Verbum.] Ἐγώ σε ἄσμενος ἑώρακα, οἶμαι δὲ καὶ οἱ ἄλλοι πάντες οὗτοι· σύ τε γὰρ Ἕλλην εἶ καὶ ἡμεῖς. Ξε. ἀν. 2, 1, 16. Πάνυ χαλεπῶς ἔχω, οἶμαι δὲ καὶ ὑμῶν τοὺς πολλούς (erg. χαλεπῶς ἔχειν). Πλ. συ. 176. Τὸ ἐμὲ προκριθῆναι οὐχ ὑμῖν μοι δοκεῖ συμφέρον εἶναι, ἀλλ' ἧττον ἄν τι διὰ τοῦτο τυγχάνειν (erg. δοκεῖτε) εἴ τι δέοισθε. Ξε. ἀν. 5, 9, 26. Ὡς ἐμοῦ ἰόντος ὅπῃ ἂν καὶ ὑμεῖς, οὕτω τὴν γνώμην ἔχετε. Ξε. ἀν. 1, 3, 6. — Ἐγὼ καὶ Κύρῳ πιστὸς ἦν καὶ νῦν ὑμῖν εὔνους. Ξε. ἀν. 3, 3, 2. Πρὸς τὰς πύλας ἦλθον, ὡς δὴ ἐξ ἀγροῦ ἀπιόντες, ἡνίκαπερ οἱ ἀπὸ τῶν ἔργων ὀψιαίτατοι. Ξε. Ἑλ. 5, 4, 3. Χαρίζεσθαί σοι βούλομαι· καὶ γὰρ ἂν καὶ μαινοίμην εἰ μή (erg. βουλοίμην). Δη. 52, 11. — Οὗτος μὲν ὕδωρ, ἐγὼ δὲ οἶνον πίνω. Δη. 19, 46. Ἐπειδὴ οὐ τότε (erg. ἔδειξας), ἀλλὰ νῦν δεῖξον. Δη. 18, 191. Ἐγὼ πάντα ὅσα προςῆκε τὸν ἀγαθὸν πολίτην (erg. πράττειν) ἔπραττον. Δη. 18, 180. Vgl. § 55, 4, 11. — Τοὺς στρατιώτας ὡς ἀπιόντας εἰς τὴν Ἑλλάδα πάλιν καὶ οὐ πρὸς βασιλέα (erg. ἰόντας) εἴα Κῦρος τὸν Κλέαρχον ἔχειν. Ξε. ἀν. 1, 4, 7.

A. 2. So erscheint auch in Verbindungen wie καὶ τότε καὶ νῦν das Verbum, regelmäßig nur Ein Mal, im Präsens. Ἡμεῖς ὅμοιοι καὶ τότε καὶ νῦν ἐσμεν. Θ. 1, 86, 2. Ἔμοιγε νῦν τε καὶ πάλαι δοκεῖ· παῖδας φυτεύειν οὔποτ' ἀνθρώπους ἐχρῆν. Εὐ. ἀποσ. ἀδ. 99. Τὸ σαφὲς οὐδεὶς οὔτε τότε οὔτε ὕστερον ἔχει εἰπεῖν. Θ. 6, 60, 2. Ἄλλα μὲν πρότερον, ἄλλα δὲ νῦν πειρᾷ λέγειν. Ξε. ἀπ. 4, 4, 7. [z. Th. 1, 86, 2.]

A. 3. Das zu ὥσπερ gehörige Nomen kann auch in demselben Casus stehen wie das auf welches ὥσπερ sich bezieht. Eben so assimiliren sich auch adjectivische Relative mit ihrem Nomen dem vorhergehenden. [z. Th. 1, 69, 4.] Οἶμαι τοὺς νεωτέρους πυνθάνεσθαι ὥσπερ ἐμέ. Ἀντ. 5, 71. Πῶς οὐ χρὴ πάντα τινὰ μεγάλην τὴν ἐλπίδα τῆς νίκης ἔχειν, ἄλλως τε καὶ πρὸς ἄνδρας οὐκ ἀπολέκτους ὥσπερ καὶ ἡμᾶς. Θ. 6, 68, 2. — Εὔχεσθε πᾶσι τοῖς θεοῖς τὴν αὐτὴν λαβεῖν παράνοιαν ἐκεῖνον ἥνπερ ποτὲ τοὺς προγόνους αὐτοῦ. Δη. 14, 39. Ἔφη πρὸς ἄνδρας τολμηροὺς οἵους καὶ Ἀθηναίους τοὺς ἀντιτολμῶντας χαλεπωτάτους αὐτοῖς φαίνεσθαι. Θ. 7, 21, 3.

§ 63. Congruenz des Verbums.

1. Das Verbum richtet sich in Person und Numerus gewöhnlich nach dem Subject.

A. 1. Bei einem collectiven Singular erscheint das Verbum oft im Plural. Μέρος τι ἀνθρώπων τὸ παράπαν οὐχ ἡγοῦνται θεούς, οἱ δὲ οὐ φροντίζειν ἡμῶν διανοοῦνται. Πλ. νό. 948. Ἀνηρέθιστο ἡ πόλις καὶ τὸν Περικλέα ἐν ὀργῇ εἶχον. Θ. 2, 21, 3. [Ueber den Plu. neben dem Sing. zu Xe. An. 1, 7, 17.]

A. 2. Ein Relativ als Subject hat das Verbum in der Person des bezüglichen Begriffes bei sich. (Selten ist das Bedürfniß ein Demonstrativ wie

οὗτος als Subject mit der ersten oder zweiten Person des Verbums zu verbinden. Ueber αὐτός § 51, 6, 2.) Τί ἂν γυναῖκες φρόνιμον ἐργασαίατο [=ἐργάσαιντο] ἢ λαμπρόν, αἳ καθήμεθ' ἐξηνθισμέναι; Ἀρ. Λυ. 42. Ἀχάριστον ὑμῶν σπέρμ', ὅσοι δημηγόρους ζηλοῦτε τιμάς, μηδὲ γιγνώσκοισθέ μοι, οἳ τοὺς φίλους βλάπτοντες οὐ φροντίζετε. Εὐ. Ἑκ. 254. (Οἵπερ καὶ τῶν ἀποβαινόντων τὸ πλέον ἐπ' ἀμφότερα τῆς αἰτίας ἕξομεν, οὗτοι καὶ καθ' ἡσυχίαν τι αὐτῶν προΐδωμεν. Θ. 1, 83, 2.)

A. 3. Beim Hinzutreten einer Apposition von verschiedenem Numerus kann das Verbum sich nach dieser (der näher stehenden) richten. So öfters bei ἕκαστος, das jedoch auch selbst als Subject im Singular gebraucht seiner collectiven Bedeutung halber das Verbum im Plural annehmen kann. Θῆβαι, πόλις ἀστυγείτων μεθ' ἡμέραν μίαν ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται. Αἰ. 3, 133. Αἱ τέχναι τὸ αὐτῆς ἑκάστη ἔργον ἐργάζεται. Πλ. πολ. 346. [zu Xe. An. 1, 8, 9.] — Τῶν ἑαυτοῦ ἕκαστος καὶ παίδων καὶ χρημάτων ἄρχουσιν. Ξε. Λακ. π. 6, 1. (Σὺ ὦ Λάχης καὶ Νικία, εἴπατον ἡμῖν ἑκάτερος, τίς ὁ διδάσκαλος ἑκατέρῳ. Πλ. Λάχ. 186.)

A. 4. Selbst bei Vergleichungen, z. B. mit ἤ als, richtet sich das Verbum zuweilen nach dem (etwa im Numerus verschiedenen) verglichenen Begriffe. [z. Th. 1, 82, 2. 8, 29, 2.] Ἡ τύχη ἀεὶ βέλτιον ἢ ἡμεῖς ἡμῶν αὐτῶν ἐπιμελούμεθα. Δη. 4, 12. Ἀνεπίφθονον ὅσοι ὥσπερ καὶ ἡμεῖς ἐπιβουλευόμεθα καὶ βαρβάρους προσλαβόντας διασωθῆναι. Θ. 1, 82, 2. (Αἱ ἀπὸ τῶν δυνατωτάτων ἡμίσειαι χάριτες πλέον ἢ ὅλον τὸ παρὰ τοῦ ἰδιώτου δώρημα δύνανται. Ξε. Ἱέρ. 8, 4.) Vgl. § 69, 64, 2.

2. Der Plural eines Neutrums als Subject hat das Verbum gewöhnlich im Singular bei sich. Vgl. § 44, 4, 1. *Ἀκόλαστα πάντῃ γίγνεται δούλων τέκνα. Εὐ. ἀποσ. ἀδ.* 87. *Διὰ τὰς γυναῖκας πάντα τὰ κακὰ γίγνεται. Μέ.* 134. *Τὰ καλῶς εὑρημέν' ἔργα τῷ λόγῳ μηνύεται. Σο. ΟΚ.* 1188.

A. 1. Selten und z. Th. zweifelhaft sind die Ausnahmen bei den Dramatikern [Dial. Sy. A. 2] und bei Platon [Schneider z. Rep. 353, b], nicht auffallend wenn das Subject lebende Wesen bezeichnet. Häufiger und sicherer sind sie auch ohne dies besonders bei Thuk. [zu 1, 58, 1] und noch mehr bei Xen. [zu Xe. An. 1, 7, 20 lat. A. vgl. Schömann z. Isai. p. 411.] Τὰ μέσα τῶν πολιτῶν ὑπ' ἀμφοτέρων, ἢ ὅτι οὐ ξυνηγωνίζοντο ἢ φθόνῳ τοῦ περιεῖναι, διεφθείροντο. Θ. 3, 82, 9 Ἆρ' ἄν ποτε ὄμματα τὸ αὐτῶν ἔργον καλῶς ἀπεργάσαιντο μὴ ἔχοντα τὴν αὐτῶν οἰκείαν ἀρετήν; Πλ. πολ. 353. Ἐγένοντο ἐκ τῶν ἀνδραπόδων εἴκοσι καὶ ἑκατὸν τάλαντα. Θ. 6, 62, 4. Ἐνταῦθα ἦσαν τὰ Συεννέσιος βασίλεια. Ξε. ἀν. 1, 2, 23.

A. 2. Ueber δόξαν ταῦτα § 56, 9, 6.

3. Bei einem Dual als Subject, wie bei zwei verbundenen Singularen steht das Verbum eig. im Dual, wenn die Aussage von jedem besonders; im Plural, wenn sie von beiden zusammengefaßt zu denken ist. Vgl. § 44, 2. Für die erste Person des Duals gebraucht wenigstens die gute Prosa auch von der passiven Formation immer die erste des Plurals. *Τὼ ἀδελφὼ αὐτῷ, ὥπερ ἐγενέσθην, ἄμφω ἄπαιδε ἐτελευτησάτην. Ἰσαῖ.* 6, 6. *Δῆλον ὅτι δύο ἐστὸν ψυχά. Ξε. Κυ.* 6, 1, 41. *Οὗτοι τί βουλεύεσθον ποιεῖν; Οὐδέν, ἀλλὰ βεβουλεύμεθα. Πλ. Χαρ.* 176. — *Μίνως καὶ Λυκοῦργος νόμους ἐθέτην. Πλ. νό.* 632. *Καὶ σὺ καὶ σὺ χαίρετον (-ετε). Ἀρ. πλ.* 788. *Ἡδονή σοι καὶ λύπη ἐν τῇ πόλει βασιλεύσετον. Πλ. πολ.* 607. *Ἥ τε πολιτικὴ καὶ ἡ φιλοσοφία ἀξίω λόγου ἐστόν. Πλ. Εὐθύδ.* 306. *Σοφία καὶ νοῦς ἄνευ ψυχῆς οὐκ ἄν ποτε γενοίσθην. Πλ. Φιλ.* 30. — *Νὼ θεασώμεθα.*

Ἀρ. ὄρ. 664. *Τῶν αὐτῶν δέονται καὶ ἡ γυνὴ καὶ ὁ ἀνήρ, δικαιοσύνης καὶ σωφροσύνης. Πλ. Μέ.* 73. *Οὐ μόνον φυτοῖς ἐγγείοις, ἀλλὰ καὶ ἐν ἐπιγείοις ζῴοις φορὰ καὶ ἀφορία ψυχῆς τε καὶ σωμάτων ἐγγίγνονται. Πλ. πολ.* 546. (*Δικανικὴ τε καὶ ἰατρικὴ σεμνύνονται. Πλ. πολ.* 404.) — *Ὡς εἰδέτην ἀλλήλους ἡ γυνὴ καὶ ὁ Ἀβραδάτης ἠσπάσαντο ἀλλήλους. Ξε. Κυ.* 6, 1, 47. *Εἰςέλθετ' εἰς νεοττιάν γε τὴν ἐμὴν καὶ τοὔνομ' ἡμῖν φράσατον. Ἀρ. ὄρ.* 641. *Ὦ Πρωταγόρα τε καὶ Σώκρατες, εἴπετον δή μοι τοῦτο τὸ πρᾶγμα ὃ ὠνομάσατε ἄρτι, ἡ δικαιοσύνη, αὐτὸ τοῦτο δίκαιόν ἐστιν ἢ ἄδικον; Πλ. Πρω.* 330.

A. 1. Einem von Zweien gebrauchten Plural kann sich ein Particip oder Adjectiv im Dual anfügen, wie dem Dual eines Verbums das Prädicat oder Particip im Plural. Πάρεσμεν ὡς ἐπιδείξοντε καὶ διδάξοντε, ἐάν τις ἐθέλῃ μανθάνειν. Πλ. Εὐθύδ. 274. Τὸν θεὸν ἔρημον ἀπολιπόντε ποι φευξούμεθα τηνδὶ δεδιότε μηδὲ διαμαχούμεθα. Ἀρ. πλ. 446. Νῷν δὺ' ἀποχρήσουσιν μόνῳ. Ἀρ. πλ. 484. Οὐκ ἂν φθάνοιτε τοῦτο πράττοντες. Ἀρ. πλ. 485. — Εὕρεταὶ γεγονότε δότε παράδειγμα. Πλ. Λάχ. 187. Γῆς τε καὶ Οὐρανοῦ παῖδες Ὠκεανός τε καὶ Τηθὺς ἐγενέσθην. Πλ. Τί. 40. Ἐγελασάτην ἄμφω βλέψαντες εἰς ἀλλήλω. Πλ. Εὐθύδ. 273.

A. 2. Selbst durch ἤ oder verbunden können zwei einheitliche Subjecte das Verbum im Plural bei sich haben, wenn die Aussage als von beiden zusammengefaßt zu denken ist. Ἔμελλον ἀπολογήσασθαι Λεωχάρης ἢ Δικαιογένης. Ἰσαῖ. 5, 5. Εἴργονται, ὅταν ἀδελφὸς ἢ ἀδελφή τῳ γένωνται καλοί. Πλ. νό. 838. (Ἔμ' οὔθ' ὁ Πλούτωνος κύων οὔθ' οὐπὶ κώπῃ ψυχοπομπὸς ἂν Χάρων ἔσχον. Εὐ. Ἄλκ. 360. Vgl. die Erkl. zu Eu. Alk. 372.)

4. Bei mehr als zwei Subjecten steht der Plural. Nicht selten jedoch wird bei mehr als einem Subject, selbst bei persönlichen, auch wenn unter ihnen ein Plural ist, das Verbum dem nächsten Singular (oder Plu. eines Neu.) angefügt. *Λήθη καὶ δυςκολία καὶ μανία πολλάκις πολλοῖς διὰ τὴν τοῦ σώματος καχεξίαν εἰς τὴν διάνοιαν ἐμπίπτουσιν. Ξε. ἀπ.* 3, 12, 6. — *Ζῶντι τῷ δικαίῳ παρὰ θεῶν τε καὶ ἀνθρώπων ἆθλοί τε καὶ μισθοὶ καὶ δῶρα γίγνεται. Πλ. πολ.* 613. *Ἔπεμψέ με Ἀριαῖος καὶ Ἀρτάοζος, πιστοὶ ὄντες Κύρῳ καὶ ὑμῖν εὖνοι, καὶ κελεύουσι φυλάττεσθαι. Ξε. ἀν.* 2, 4, 16. [zu Xe. An. 2, 4, 16 lat. A.] *Ἔστιν ἡ τούτου μήτηρ καὶ ὁ τῆς ἐμῆς γυναικὸς πατὴρ ἀδελφοί. Δη.* 45, 54. (*Σεύθης ἐρωτῶντος ἐμοῦ καὶ Πολυνίκου περὶ Ξενοφῶντος τίς ἀνὴρ εἴη οὐδὲν εἶχε μέμψασθαι. Ξε. ἀν.* 7, 6, 39. *Ἧττον ἂν στάσις εἴη ἑνὸς ἄρχοντος ἢ πολλῶν. Ξε. ἀν.* 5, 9, 29.) *Ἧκε Χρυσάντας τε ὁ Πέρσης καὶ ἄλλοι τινὲς τῶν ὁμοτίμων. Ξε. Κυ.* 3, 3, 48. *Τὸ γνῶθι σαυτὸν καὶ τὸ σωφρόνει ἐστὶ ταὐτόν, ὡς τὰ γράμματά φησι καὶ ἐγώ. Πλ. Χαρ.* 164. *Γῆρας διδάσκει πάντα καὶ χρόνου τριβή. Σο. ἀποσ.* 586. — *Οἱ παῖδες καὶ τὸ γένος ἅπαν τὸ τοῦ ἐπιορκήσαντος μεγάλοις ἀτυχήμασι περιπίπτει. Λυκ.* 79. *Σάρκες καὶ νεῦρα ἐξ αἵματος γίγνεται. Πλ. Τί.* 82. — *Ἀπήγγελλεν ὅτι ἐπαινοίη αὐτοὺς καὶ Ἀναξίβιος ὁ ναύαρχος καὶ οἱ ἄλλοι. Ξε. ἀν.* 5, 9, 16. (*Τοὺς μείζους τίνας λέγεις; Οὓς Ἡσίοδός τε καὶ Ὅμηρος ἡμῖν ἐλεγέτην καὶ οἱ ἄλλοι ποιηταί. Πλ. πολ.* 377.)

(A. 1. So erscheint auch der Singular des Imperativs vor mehrern Vocativen, vorzugsweise an einen gerichtet. Εἰπέ μοι ὦ Σώκρατές τε καὶ Ἱππόκρατες, τί ἐν νῷ ἔχετε; Πλ. Πρω. 311. Εἰπέ μοι ὦ Σώκρατές τε

καὶ ὑμεῖς οἱ ἄλλοι, πότερον παίζετε ἢ σπουδάζετε; Πλ. Εὐθύδ. 283. Lobeck zu So. Ai. 191 p. 152.)

A. 2. Auch wenn es dem Plural näher steht, richtet sich das Verbum zuweilen nach dem Singular, wenn dieser Hauptsubject ist. Βασιλεὺς καὶ οἱ σὺν αὐτῷ διώκων εἰςπίπτει εἰς τὸ στρατόπεδον. Ξε. ἀν. 1, 10, 1. (Βρασίδας καὶ τὸ πλῆθος ἄνω ἐτράπετο, βουλόμενος ἑλεῖν τὴν πόλιν. Θ. 4, 112, 2.)

(A. 3. Selten findet sich bei einem einheitlichen Subject dem ein anderer Begriff durch μετά mit angefügt ist der Plural. Δημοσθένης μετὰ τῶν συστρατηγῶν σπένδονται Μαντινεῦσιν. Θ. 3, 109, 2 mit d. A.)

A. 4. Nur überhaupt ein Subject ankündigend oder umfassend steht zuweilen der Singular, namentlich ἔστιν, ἦν, γίγνεται, wenn auch mehrheitliche Subjecte folgen: σχῆμα Πινδαρικόν. [Heindorf zu Plat. Euthyd. 72, Herm. zu Eur. Ion 1161 u. Soph. Trach. 520; gegen ihn Schäfer zum Plutarch 5 p. 142 f.] Ἔστι τούτω διττὼ τὼ βίω. Πλ. Γο. 500. — Ἔστι μέν που καὶ ἐν ταῖς ἄλλαις πόλεσιν ἄρχοντές τε καὶ δῆμος, ἔστι δὲ καὶ ἐν αὐτῇ. Πλ. πολ. 463. Δοκοῦντι δικαίῳ εἶναι γίγνεται ἀπὸ τῆς δόξης ἀρχαί τε καὶ γάμοι. Πλ. πολ. 363. [Πάχναι καὶ χάλαζαι καὶ ἐρυσίβαι — γίγνεται.? Πλ. συ. 188. Σκέλη καὶ χεῖρες προςέφυ πᾶσιν.? Πλ. Τί. 45.] Vgl. § 61, 6, 3.)

5. Bei Verbindung mehrerer Subjecte von verschiedener Person richtet das Verbum sich entweder nach dem nächsten oder man wählt bei Zusammenfassung der Aussage (3) den Plural und zwar die erste Person desselben, wenn ein Subject der ersten; die zweite, wenn keins der ersten angehört. *Οἶδα σαφῶς καὶ ἐγὼ καὶ σὺ ὅτι ηὐδοκίμει Περικλῆς. Πλ. Γο.* 515. *Ἐγὼ λέγω καὶ Σεύθης τὰ αὐτά. Ξε. ἀν.* 7, 7, 16. *Τὸ γνῶθι σαυτὸν καὶ τὸ σωφρόνει ἐστὶ ταὐτόν, ὥς τὰ γράμματά φησι καὶ ἐγώ. Πλ. Χαρ.* 164. *Σύ τε Ἕλλην εἶ καὶ ἡμεῖς. Ξε. ἀν.* 2, 1, 16. *Εἴσει οἷοί τε ὑμεῖς ἐστε καὶ οἷοι ἡμεῖς. Ξε. ἀν.* 7, 7, 4. *Οὔτε σὺ οὔτ' ἂν ἄλλος οὐδεὶς δύναιτ' ἀντειπεῖν. Ξε. ἀπ.* 4, 4, 7. *Μεθ' ὑμῶν ἐνίκων οὗτοι οἱ ξένοι καὶ ὑμεῖς μετ' ἐκείνων. Δη.* 4, 24. — *Δεινοὶ καὶ σοφοὶ ἐγώ τε καὶ σὺ ἦμεν. Πλ. Θε.* 154. *Τούτοις ἐγώ σε καὶ πόλις δωρούμεθα. Εὐ. ἱκ.* 1168. *Ἐγὼ καὶ σφὼ βαρείᾳ ξυμφορᾷ πεπλήγμεθα. Εὐ. Ἄλκ.* 405. *Ξυμφωνοῦμεν ἐγώ τε καὶ ὑμεῖς. Πλ. νό.* 661. — *Τὴν μαιείαν ταύτην ἐγώ τε καὶ ἡ μήτηρ ἐκ θεοῦ ἐλάχομεν. Πλ. Θέ.* 210. *Ἡμεῖς καὶ οἵδε οὐκ ἄλλην ἄν τινα δυναίμεθα ᾠδὴν ᾄδειν. Πλ. νό.* 666. — *Οὔτε σὺ οὔτ' ἂν ἡμεῖς φαῖμεν. Πλ. Θε.* 163. *Ὑμεῖς καὶ ἐγὼ τάδε λέγομεν. Πλ. νό.* 661. — *Οὐ σὺ μόνος οὐδὲ οἱ σοὶ φίλοι πρῶτοι καὶ πρῶτον ταύτην δόξαν περὶ θεῶν ἔσχετε. Πλ. νό.* 888.

6. Wenn Subject und Prädicat von verschiedenem Numerus sind, so richtet sich das Verbum nicht selten nach dem Prädicat, besonders wenn dies der nachdrucksvollere oder nähere Begriff ist. So auch wenn das Subject Plural eines Neutrums, das Prädicat Plural eines Masculinums oder Femininums ist. *Αἱ χορηγίαι ἱκανὸν εὐδαιμονίας σημεῖόν ἐστίν. Ἀντ.* 2, γ, 8. *Λόγοι γίγνονται τὸ λειπόμενον. Πλ. Γο.* 502. — *Ὑπόλοιπόν ἐστιν οἱ στρατηγοί. Δη.* 35, 48. *Οὗτοι φανερά ἐστι λώβη τε καὶ διαφθορὰ τῶν συγγιγνομένων. Πλ. Μέ.* 91. *Οἱ ἀντιλέγοντες ὄχλος ἄλλως καὶ βασκανία κατεφαίνετο. Δη.* 19, 24. *Οἱ Ἀθηναῖοι ἔκτισαν τὸ χωρίον τοῦτο, ὅπερ*

πρότερον Ἐννέα ὁδοὶ ἐκαλοῦντο. Θ. 4, 102, 2. *Πάντα ταῦτα κακουργίαι εἰσίν. Ξε. Κυ.* 1, 6, 28. [Vgl. Th. 4, 26, 3.]

A. Wenn Subject und Prädicat von verschiedenem Genus (wie Numerus) sind, so richtet sich ein sie etwa verbindendes ὤν (oder καλούμενος) seltener nach dem Subject als nach dem Prädicat. Ὑπεξέθεντο τὰς θυγατέρας, παιδία ὄντα. Δη. 19, 194. — Ἀθάνατον ἡ ψυχὴ φαίνεται οὖσα. Πλ. Φαίδ. 114. Καλῶς ἔχει δηλῶσαι ὃ τυγχάνει οὖσα ἀρετή. Πλ. Μέ. 72. Ἐλπίς, κινδύνῳ παραμύθιον οὖσα, βλάπτει. Θ. 5, 103, 1. Τὸ ὅλον πᾶν ἂν εἴη, τὰ πάντα ὂν μέρη. Πλ. Θε. 204. Πείθεσθαί ἐστι τῷ νομοθέτῃ χρεὼν τὸν ὄντα ἡμῶν ἕκαστον ἀθάνατον εἶναι, ψυχὴν ἐπονομαζόμενον. Πλ. νό. 959. — Πάντα ὅσα ὑπὸ ποιητῶν λέγεται διήγησις οὖσα τυγχάνει. Πλ. πολ. 392. Τὸ ἥττω εἶναι ἑαυτοῦ εὑρέθη ἀμαθία οὖσα. Πλ. Πρω. 359. — Καταφανέστατον γέγονεν ἄλλο ὂν αἰσθήσεως ἐπιστήμη. Πλ. Θε. 186. (Ἀπορῶ) ἐπιστήμη (ὅ, τι) τί ποτε τυγχάνει ὄν; Πλ. Θε. 145. 148. Ψυχὴν ἠγνοηκέναι κινδυνεύουσιν ὀλίγου ξύμπαντες οἷον τυγχάνει ὄν. Πλ. νό. 892. — Δείξει πρότερον ὂν ψυχὴν σώματος. Πλ. νό. 893. Τὴν ἡδονὴν διώκετε ὡς ἀγαθὸν ὄν. Πλ. Πρω. 354. — Ἑνὸς ὄντος τῆς ἀρετῆς μόριά ἐστιν ἃ ἐρωτᾷς. Πλ. Πρω. 329. Τίνος ὄντος ἀρετῆς λέγεις ἃ λέγεις; Πλ. Μέ. 79. Οἱ Ἀργεῖοι ἐτύγχανον τότε ποιοῦντες τὴν θυσίαν τῷ Ποσειδῶνι, ὡς Ἄργους τῆς Κορίνθου ὄντος. Ξε. Ἑλ. 4, 5, 1.

§ 64. Selbständige Sätze.

1. Ein selbständiger Satz hat gewöhnlich dieselbe Modalität, mag man ihn affirmativ, negativ oder interrogativ aussprechen. *Γνῶμαι ἀμείνους εἰσὶ τῶν γεραιτέρων. Μέ. μο.* 101. *Ἀνδρὸς δικαίου καρπὸς οὐκ ἀπόλλυται. Μέ. μο.* 27. *Ἆρ᾽ ἐστὶ λῆρος πάντα πρὸς τὸ χρυσίον; Ἀντιφάνης* 289.

A. 1. Ausg. der imperative Conj. mit μή § 54, 2, 2.

A. 2. Die griechische Sprache ist rücksichtlich der Modalität viel ausdrucksreicher als andere, sowohl durch die Zahl und Bedeutsamkeit ihrer Modi als durch die in mannigfachen Beziehungen mit denselben verbundene Partikel ἄν. Ueber diese Genaueres § 69, 7.

2. Rein erscheint die Modalität im selbständigen Satze, wenn derselbe bloß durch die Modi (Indicativ, Imperativ, Conjunctiv oder Optativ ohne *ἄν*) ausgedrückt wird. In dieser Beziehung ist der Satz entweder

1) objectiv factisch, ausgedrückt durch den Indicativ;
2) prostaktisch, ausgedrückt durch den Imperativ oder Conjunctiv;
3) euktisch, ausgedrückt durch den Optativ oder Indicativ.

A. 1. Ueber den Imperativ § 54, 4, 1 u. 2; über μή mit dem Imperativ des Präsens oder dem Conjunctiv des Aorists § 54, 2, 2; über die erste Person des Conjunctivs affirmativ § 54, 2, 1; prohibitiv eb. A. 2, interrogativ eb. A. 3; über den Optativ § 54, 3, 1—5.

A. 2. In diesen Bedeutungen sind die genannten Modi in selbständigen Sätzen einer Modification durch ἄν nicht wohl empfänglich, der Indicativ wenigstens nicht vom Präsens und Perfect; überhaupt nicht die Conjunctive und eben so wenig wohl auch die Imperative. Der Optativ mit ἄν erscheint

nur bei Dramatikern (namentlich mit πῶς) auch wünschend. Πῶς ἂν σύ μοι λέξειας ἁμὲ (ἃ ἐμὲ) χρὴ λέγειν; Ἀρ. ἱπ. 16. (Εὐ. Ἱπ. 345.)

A. 3. Ueber ἄν mit dem Optativ als gemilderten Indicativ § 54, 3, 7 und als gemilderten Imperativ eb. A. 8; über den Indicativ des Präsens und Futurs in einer imperativischen Frage § 53, 1, 9 und 7 A. 2 vgl. A. 3, so wie mit οὐ und οὐ μή eb. A. 4 u. 5.

3. Mit ἄν verbunden bezeichnet in einem selbständigen Satze der Indicativ eines historischen Tempus daß die Handlung vorkommenden Falls eintrat oder eingetreten wäre.

A. 1. Ueber diesen Gebrauch bei wiederholt Vorgekommenem § 53, 10, 3 vgl. § 54, 12, 5; von nicht Stattfindendem § 54, 3, 10 und § 61, 3, 1.

A. 2. Ueber den Indicativ ohne ἄν von etwas Nichtstattfindendem § 53, 2, 7 und 10 A. 5.

A. 3. Der Indicativ des Futurs mit der Partikel ἄν (ein von Manchen bezweifelter Sprachgebrauch) bezeichnet daß die Handlung wohl eintreten könne. [Hermann De part. ἄν p. 29 ss.] Αἰγυπτίους οὐχ ὁρῶ ποίᾳ δυνάμει συμμάχῳ χρησάμενοι μᾶλλον ἂν κολάσεσθε τῆς νῦν σὺν ἐμοὶ οὔσης. Ξε. ἀν. 2, 5, 13. [vgl. Th. 2, 80, 1 u. zu Xe. An. 2, 3, 18. So auch mit dem Infinitiv des Futurs. z. Th. 2, 80, 5.]

4. Der Optativ mit ἄν bezeichnet daß der Satz als ein möglicher bloß gedacht werde. S. § 54, 3, 6—9 vgl. 11 A. 1 u. 12 A. 1.

A. Ueber den Optativ des Aorists § 53, 6, 4.

5. Selbständige interrogative Sätze werden theils bloß durch den Ton (nach dessen Angabe, dem Fragezeichen) als solche ausgesprochen; theils durch eine Fragepartikel, wie *οὐ, ἦ, ἆρα, μή, μῶν*, eingeführt, theils haben sie ein adjectivisches oder adverbiales Fragewort. *Οὗτος καθεύδεις; Κρατῖνος* 58. *Ἕλληνες ὄντες βαρβάροις δουλεύσομεν; Εὐ. Τήλ.* 17. *Οὐκ εἰκὸς ὕστατα ἀφικνεῖσθαι τὰ βραδύτατα; Πλ. πολιτ.* 266. *Ζῷα οὐ ταῦτα καλεῖς ἃ ἂν ψυχὴν ἔχῃ; Πλ. Εὐθύδ.* 302. *Τί τὸ στέρεσθαι πατρίδος, ἦ κακὸν μέγα; Εὐ. Φοί.* 388. *Ἆρ' ὄφελός τι τῶν ἄλλων κτημάτων ἄνευ φρονήσεως καὶ σοφίας; Πλ. Εὐθύδ.* 281. *Τῶν πολλῶν καλῶν μῶν τί ἐστιν ὃ οὐκ αἰσχρὸν φανήσεται; Πλ. πολ.* 479. — *Οἳ φαίνονται καὶ λέγοντες ἃ μὴ ἴσασι καὶ πράττοντες πότερά σοι δοκοῦσιν ἐπὶ τοῖς τοιούτοις ἐπαίνου μᾶλλον ἢ ψόγου τυγχάνειν καὶ πότερον θαυμάζεσθαι μᾶλλον ἢ καταφρονεῖσθαι; Ξε. ἀπ.* 3, 6, 16. *Πῶς ἡμῖν ἔχεις; Φιλή.* 118. — *Ἔστι προςενεγκεῖν τὰ ὀνόματα τοῖς πράγμασιν ὧν μιμήματά ἐστιν ἢ οὔ; Πλ. Κρατ.* 430. *Πᾶς οἶδεν ὁποῖα ὁποίοις δυνατὰ κοινωνεῖν ἢ τέχνης δεῖ τῷ μέλλοντι δρᾶν ἱκανῶς αὐτά; Πλ. σο.* 253. — *Στρατεύοιτο πότερος ἂν ῥᾷον, ὁ μὴ δυνάμενος ἄνευ πολυτελοῦς διαίτης ζῆν ἢ ᾧ τὸ παρὸν ἀρκοίη; Ξε. ἀπ.* 1, 6, 9. *Ποτέρως ἂν μᾶλλον ἄνθρωποι σωφρονοῖεν, ἀργοῦντες ἢ τῶν χρησίμων ἐπιμελούμενοι; Ξε. ἀπ.* 2, 7, 8. *Ποτέρως ἄν με κρίναις ἀξιοφίλητον μᾶλλον εἶναι χρημάτων κοινωνόν, εἴ σοι αὐτὰ τὰ ὄντα ἀποδεικνύοιμι ἢ εἴ σε πειρῴμην ἐξαπατᾶν; Ξε. οἰκ.* 10, 3. *Τίς ὁ γνωσόμενος; ὁ ποιήσας ἢ ὁ χρησόμενος; Πλ. Κρατ.* 390. *Τρέφεται ψυχὴ ὦ Σώκρατες τίνι; μαθήμασι δήπου. Πλ. Πρω.* 313. — *Φαίνεται φύσει τινὰ ὀρθότητα ἔχον εἶναι τὸ ὄνομα· ἢ οὔ; Πλ. Κρατ.* 391.

A. 1. Ueber Fragen wie πῶς οἶδα; § 54, 1, 3; τί λέγομεν, λέξομεν, λέγωμεν; rc. § 53, 1, 9. 7 A. 2—5; οὐ παιήσετε; § 53, 7, 4. Ueber die inter=

rogativen Pronomina und Adverbia bei einzelnen Begriffen § 51, 17, 2 ff.; in abhängigen Sätzen eb. A. 7; mehrere verbunden eb. A. 10.

A. 2. Das direct und indirect gebräuchliche πότερον, seltener πότερα, ist ursprünglich ein Ac. nach der Analogie von δυοῖν θάτερον u. ä. meist nur in Gegenfragen vorkommend. Vgl. § 57, 10, 11. Πότερον αἱ γυναῖκες ἐν ταῖς πόλεσι φρονιμώτεραί σοι δοκοῦσιν εἶναι ἢ οἱ ἄνδρες, ὡς τὸ ὅλον εἰπεῖν γένος; Οἱ ἄνδρες. Πλ. Κρατ. 392. Πότερον ἐξήτακας τοῦτο ἢ πῶς οἶσθα; Ξε. ἀπ. 3, 6, 11. Πότερον φῶμέν τι εἶναι αὐτὸ καλὸν καὶ ἀγαθὸν ἢ μή; Πλ. Κρατ. 439.

A. 3. Schon durch den Ausdruck der Frage selbst deutet man häufig an ob man das Gefragte bejaht oder verneint zu sehen erwarte. So setzen οὐ, οὐκοῦν eine Bejahung, μή, μῶν, ἆρα eine Verneinung voraus, zuweilen jedoch auch eine Bejahung; unentschieden ist ἦ. Genaueres über diese Partikeln unten § 69. Ueber ἄλλο τι § 62, 3, 8.

A. 4. An Ausdrücken für Bejahung und Verneinung ist das Griechische ungemein reich. Als solche erscheinen außer vielen Adverbien φημί ich bejahe es, οὔ φημι ich verneine es vgl. § 67, 1, 2, das concessive ἔστω es sei so vgl. § 54, 4, 2, die Wiederholung des in Frage gestellten Begriffes, des persönlichen Pronomens mit γέ und ganzer Sätze. Ὤτων ἦν τι ἔργον; Ναί. Πλ. πολ. 353. Ψυχὴν οὐ τὴν ἀνδρειοτάτην καὶ φρονιμωτάτην ἥκιστ' ἄν τι ἔξωθεν πάθος ταράξειεν; Ναί. Πλ. πολ. 381. — Ἀνθρώπους μὴ οὕτω φῶμεν βλαπτομένους εἰς τὴν ἀνθρωπείαν ἀρετὴν χείρους γίγνεσθαι; Πάνυ μὲν οὖν. Πλ. πολ. 385. Φιλόσοφος τὴν φύσιν ἔσται ὁ μέλλων καλὸς κἀγαθὸς ἔσεσθαι φύλαξ πόλεως; Παντάπασι μὲν οὖν. Πλ. πολ. 376. Οὐκ οἶσθα ὅτι ἀρχὴ παντὸς ἔργου μέγιστον ἄλλως τε καὶ νέῳ καὶ ἁπαλῷ ὁτῳοῦν; μάλιστα γὰρ δὴ τότε πλάττεται καὶ ἐνδύεται τύπος ὃν ἄν τις βούληται ἐνσημήνασθαι ἑκάστῳ. Κομιδῇ μὲν οὖν. Πλ. πολ. 377. — Εὐδαίμονας λέγεις οὐ τοὺς τἀγαθὰ καὶ τὰ καλὰ κεκτημένους; Πάνυ γε. Πλ. συ. 202. Οὐ τοῦτό γε θάνατος ὀνομάζεται, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος; Παντάπασί γε. Πλ. Φαίδ. 67. Τί τὸ ζῆν; ψυχῆς φήσομεν ἔργον εἶναι; Μάλιστά γε. Πλ. πολ. 353. — Ἡ περὶ τὸν πόλεμον ἀγωνία οὐ τεχνικὴ δοκεῖ εἶναι; Καὶ μάλα. Πλ. πολ. 374. — Τόδε μοι εἰπέ, ὕβρει τε καὶ ἀκολασίᾳ ἐστί τις κοινωνία; Πάντων μάλιστα. Πλ. πολ. 403. — Ὁ ἐπιστήμων σοφός; Φημί. Πλ. πολ. 350. — Οὐ τήν γε ὠφέλειαν ἑκάστης τῆς τέχνης ἰδίαν ὡμολογήσαμεν εἶναι; Ἔστω. Πλ. πολ. 346. — Ἆρα καὶ ἀρετὴ ὀφθαλμῶν ἔστιν; Καὶ ἀρετή. Πλ. πολ. 353. Τὰ ἐπιτηδεύματα οὐ τὰ αὐτὰ ἀποδοτέα ταῖς αὐταῖς φύσεσιν; Τὰ αὐτά. Πλ. πολ. 456. Χρήσιμον καὶ ἐν εἰρήνῃ δικαιοσύνη; Χρήσιμον. Πλ. πολ. 332. — Ὀφθαλμῶν, φαμέν, ἔστιν ἔργον; Ἔστιν. Πλ. πολ. 353. Οὐκ ἐνενόηκας ὡς ἄμαχόν τε καὶ ἀκίνητον θυμός; Ἐννενόηκα. Πλ. πολ. 375. — Ξυμβόλαια λέγεις κοινωνήματα ἤ τι ἄλλο; Κοινωνήματα δῆτα. Πλ. πολ. 333. Οἶσθά που τῶν γενναίων κυνῶν ὅτι τοῦτο φύσει αὐτῶν τὸ ἦθος πρὸς μὲν τοὺς συνήθεις τε καὶ γνωρίμους ὡς οἷόντε πρᾳοτάτους εἶναι, πρὸς δὲ τοὺς ἀγνῶτας τοὐναντίον. Οἶδα μέντοι. Πλ. πολ. 375. Ἆρ' οὐ τοῦτο τούτου ἔργον θήσομεν; Θήσομεν μὲν οὖν. Πλ. πολ. 353. — Οὐ καὶ πείθεσθαι τοῖς ἄρχουσι φῂς δίκαιον εἶναι; Ἔγωγε. Πλ. πολ. 339. Δοκεῖ τί σοι εἶναι ἵππου ἔργον; Ἔμοιγε. Πλ. πολ. 352. — Ὁ θεός τε καὶ τὰ τοῦ θεοῦ πάντῃ ἄριστα ἔχει; Πῶς δ' οὔ; Πλ. πολ. 381. Ἔστιν ὅπως οὐ πάμπολυ διαφέρει γυνὴ ἀνδρὸς τὴν φύσιν; Πῶς δ' οὐ διαφέρει; Πλ. πολ. 453. Ὁ τρόπος τῆς λέξεως καὶ ὁ λόγος οὐ τῷ τῆς ψυχῆς ἤθει ἕπεται; Πῶς γὰρ οὔ; Πλ. πολ. 400. — Οὐ φρονίμους τοὺς φύλακας δεῖ ὑπάρχειν καὶ δυνατοὺς καὶ κηδεμόνας τῆς πόλεως; Ἔστι ταῦτα. Πλ. πολ. 412. Οὐ κἂν ἔλαττον γίγνηται, ἐκ μείζονος ὄντος πρότερον ὕστερον ἔλαττον γενήσεται; Ἔστιν οὕτως. Πλ. Φαίδ. 70. — Οὐκ ἐν μόνῃ τῇ τοιαύτῃ πόλει τόν τε σκυτοτόμον σκυτοτόμον εὑρήσομεν καὶ τὸν γεωργὸν γεωργόν; Ἀληθῆ. Πλ. πόλ. 397. Οὐκ ἐκεῖ μὲν ἀκολασίαν ἡ ποικιλία ἐνέτικτεν, ἐνταῦθα δὲ νόσον; Ἀληθέστατα. Πλ. πολ. 404.

Τὸν ἐρωτᾶν καὶ ἀποκρίνεσθαι ἐπιστάμενον ἄλλο τι σὺ καλεῖς ἢ διαλεκτικόν; Οὔκ, ἀλλὰ τοῦτο. Πλ. Κρατ. 390. — Ἔσθ' ὅτῳ ἂν ἄλλῳ ἴδοις ἢ ὀφθαλμοῖς; Οὐ δῆτα. Πλ. πολ. 352. Τοῦ πεποιηκότος ὁ πεπονθὼς ἔλαττον ἕξω παρ' ὑμῖν; μὴ δῆτα. Δη. 22, 187. — Τί δέ; ἀκούσαις ἂν ἄλλῳ ἢ ὠσίν; Οὐδαμῶς. Πλ. πολ. 352. Ὃν ἡ τύχη καὶ τὸ δαιμόνιον φίλον μὲν ἀλυσιτελῆ, συμφέροντα δ' ἐχθρὸν ἐμφανίζει, τοῦτον ἡμεῖς φοβώμεθα; Μηδαμῶς. Δη. 14, 36. — Σὺ τοὺς ἄρχοντας ἐν ταῖς πόλεσι τοὺς ὡς ἀληθῶς ἄρχοντας ἑκόντας οἴει ἄρχειν; Μὰ Δί' οὔκ, ἔφη, ἀλλ' εὖ οἶδα. Πλ. πολ. 345. Οὐ καλεῖς αὐτὸν καὶ μὴ ἀφήσεις; Μηδαμῶς, ἀλλ' ἐᾶτε αὐτόν. Πλ. συ. 175. Οὕτω σε φῶμεν λέγειν; Ἥκιστά γε. Πλ. πολ. 340. — Ἔστι τι ἀγαθόν; Ἔστιν. Τούτῳ ἐστί τι ἐναντίον πλὴν τὸ κακόν; Οὐκ ἔστιν. Τί δέ; ἔστι τι ὀξὺ ἐν φωνῇ; Ἔφη. Τούτῳ μή ἐστί τι ἐναντίον ἄλλο πλὴν τὸ βαρύ; Οὐκ ἔφη. Πλ. Πρω. 332. — Ἥκιστα ἂν πολλὰς μορφὰς ἴσχοι ὁ θεός; Ἥκιστα δῆτα. Πλ. πολ. 381. — Μείζω τινὰ καὶ ὀξυτέραν ἔχεις εἰπεῖν ἡδονὴν τῆς περὶ τὰ ἀφροδίσια; Οὐκ ἔχω, ἦ δ' ὅς, οὐδέ γε μανικωτέραν. Πλ. πολ. 403. — Ἡγεῖ τινά ποτ' ἂν γενέσθαι ἀνδρεῖον τὸν θάνατον δεδιότα; Μὰ Δία, ἦ δ' ὅς, οὐκ ἔγωγε. Πλ. πολ. 386. Τί σοι ἔτι ποιήσω; ἢ εἰς τὴν ψυχὴν φέρων ἐνθήσω τὸν λόγον; Μὰ Δί', ἦν δ' ἐγώ, μὴ σύ γε, ἀλλ' ἃ ἂν εἴπῃς, ἔμμενε τούτοις. Πλ. πολ. 345. — Ὃ μηδὲν κακὸν ποιεῖ, οὐδ' ἄν τινος εἴη κακοῦ αἴτιον; Πῶς γάρ; Πλ. πολ. 379.

§ 65. Satzgefüge.

I. Ideell und real abhängige (consecutive und finale) Sätze.

1. Selbständige Sätze werden ideell abhängig, wenn man sie als vorgestellte oder geäußerte einem einleitenden Satze anfügt. So erscheinen positive Sätze durch *ὅτι*, *ὡς* oder ein Relativ eingeführt; interrogative sowohl durch *εἰ* ob und *πότερον* oder *πότερα* utrum als durch ein interrogatives Adjectiv, Pronomen oder Adverbium, sei es ein directes oder indirectes, angefügt. Vgl. § 51, 17, 2 und 54, 6, 2. *Δῆλον ὅτι κοινὰ τὰ φίλων ἔσται. Πλ. πολ.* 449. *Ἴσως τὸ λεγόμενον ἀληθὲς ὅτι χαλεπὰ τὰ καλά. Πλ. πολ.* 435. *Λέγει ὡς οὐδέν ἐστιν ἀδικώτερον φήμης. Αἰ.* 1, 125. — *Ἠρώτων αὐτὸν εἰ μηδὲν φροντίζει τῶν παρόντων. Ἰσ.* 12, 203. *Οὐκ ἔστι θνητῶν ὅστις ἐξεπίσταται τὴν αὔριον μέλλουσαν εἰ βιώσεται. Εὐ. Ἄλκ.* 783. *Μὴ τοῦτο βλέψῃς εἰ νεώτερος λέγω, ἀλλ' εἰ φρονούντων τοὺς λόγους ἀνδρῶν ἐρῶ. Μέ.* 610. *Ἐπισκεψώμεθα εἰ ὁ ἄριστος εὐδαιμονέστατος καὶ ὁ κάκιστος ἀθλιώτατος ἢ ἄλλως ἔχει. Πλ. πολ.* 544. — *Βούλει καὶ τοῦτο σκεψώμεθα, πότεροι ἥδιον ζῶσιν, οἱ ἄρχοντες ἢ οἱ ἀρχόμενοι. Ξε. ἀπ.* 2, 1, 10. *Ἐξετάσωμεν τὰ ἔργα τοῦ οἰκονόμου καὶ τοῦ στρατηγοῦ, ἵνα εἰδῶμεν πότερον τὰ αὐτά ἐστιν ἢ διαφέρει τι. Ξε. ἀπ.* 3, 4, 7. *Ἠρώτων σε πότερα μανθάνουσιν οἱ ἄνθρωποι, ἃ ἐπίστανται ἢ ἃ μή. Πλ. Εὐθύδ.* 278. — *Ἀκούσωμεν τί ἕκαστος ἐρεῖ. Πλ. συ.* 193. *Οὐ τοῦτο ἐνενόει τί πείσοιτο, ἀλλὰ τί ἂν ποιήσας σοι χαρίσαιτο. Ξε. Κυ.* 7, 3, 10. *Οὐ φροντιστέον ἡμῖν τί ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς ἀλλ' ὅ, τι ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδίκων. Πλ. Κρίτ.* 48. *Ἐκέλευσε λέγειν ὅ, τι γιγνώσκοι. Ξε. Κυ.* 3, 1, 14. — *Ἆρα παντὸς ἀνδρός ἐστιν ἐκλέξασθαι ποῖα ἀγαθὰ τῶν ἡδέων ἐστὶ καὶ ὁποῖα κακά, ἢ τεχνικοῦ δεῖ εἰς ἕκαστον; Πλ. Γο.* 500. *Ἐννοήσας ὁποῖόν τινά σε ποιεῖ ἡ σωφροσύνη παροῦσα καὶ ποία τις οὖσα τοιοῦτον ἀπεργάζοιτο ἂν*

εἰπὲ τί σοι φαίνεται εἶναι; Πλ. Χαρ. 160. — *Νῦν τις λεγέτω ποτέρως ἂν τὴν ἀρετὴν μᾶλλον οἴεται ἀσκεῖσθαι παρ' ἡμῖν, εἰ μέλλοι ὁ πλεῖστα καὶ πονεῖν καὶ κινδυνεύειν ἐθέλων πλείστης καὶ τιμῆς τεύξεσθαι ἢ ἂν εἰδῶμεν ὅτι οὐδὲν διαφέρει κακὸν εἶναι. Ξε. Κυ.* 2, 3, 4. *Βουλευσόμεθα ὅπως ἂν ἄριστα ἀγωνιζοίμεθα. Ξε. Κυ.* 2, 1, 4. (Vgl. Struwe opuscc. 2 p. 32. 35.)

A. 1. Ueber den Indicativ in diesen Sätzen § 54, 6, 1; den Optativ eb. A. 2; den Indicativ oder Optativ mit ἄν eb. A. 6; den Conjunctiv und den ihm entsprechenden Optativ in indirecten Fragen § 54, 7, 1; (den Infinitiv bei ὅτι und ὡς § 55, 4, 10; den Infinitiv nach ὡς wie und ὅ eb. A. 7; das fehlende ὅτι eb. A. 8;) die Bedeutung des Optativs des Aorists mit und ohne ἄν § 53, 6, 6; das fehlende ἐστίν § 62, 1, 4; in ὅτι τί § 51, 17, 8.

A. 2. Den unverändert angeführten Worten Jemandes vorgesetzt vertritt ὅτι (nie ὡς) unser Anführungszeichen. Πρόξενος εἶπεν ὅτι αὐτός εἰμι ὃν ζητεῖς. Ξε. ἀν. 2, 4, 16. Ἐδήλου ἡ γραφὴ ὅτι Θεμιστοκλῆς ἥκω παρὰ σέ. Θ. 1, 137, 4.

A. 3. Die Sätze mit ὅτι und ὡς daß sind eig. Bestimmungssätze, welche den relativen Bestimmungssätzen entsprechen, wie denn beide Conjunctionen wirklich auch ursprünglich Relative sind, ὅτι das Neu. von ὅστις. Dem gemäß beziehen sie sich oft auch auf ein vorhergehendes Demonstrativ (wohl auch auf ein τί) oder es kann dasselbe doch leicht hinzugedacht werden: der Umstand daß. Solche Sätze gebrauchte man auch epexegetisch: nämlich. Τῷ φθόνῳ τοῦτο μόνον ἀγαθὸν πρόςεστιν ὅτι μέγιστον κακὸν τοῖς ἔχουσίν ἐστιν. Ἰσ. 9, 6. Τοῦτο γιγνώσκω ὅτι τόλμῃ δικαίᾳ καὶ θεὸς συλλαμβάνει. Μέ. 565. Διενοήθημεν τὸ τοιόνδε ὅτι τὴν πόλιν ἐλευθέραν εἶναι δεῖ καὶ ἔμφρονα καὶ ἑαυτῇ φίλην. Πλ. νό. 693. Ἆρ' ἐπ' ἐκείνῳ γελᾶτε ὅτι οὐ δεήσει συγγυμναστήν με ζητεῖν; Ξε. συ. 2, 18. Οὐ τοῖς τῶν σοφωτάτων συγγράμμασιν ἐντετύχηκας ταῦτ' αὐτὰ λέγουσιν ὅτι τὸ ὅμοιον τῷ ὁμοίῳ ἀνάγκη ἀεὶ φίλον εἶναι; Πλ. Λυ. 214. (Τί ἔχεις εἰπεῖν ὡς ἄξιόν σοί ἐστι μέγα φρονεῖν ἐφ' ᾗ εἶπας τέχνῃ; Ξε. συ. 4, 57.) — Μέγιστον ἀγαθὸν τῷ ὀρεγομένῳ φίλον ἀγαθὸν ποιήσασθαι ὅτι ἀνάγκη αὐτῷ ἀσκεῖν ἀρετήν. Ξε. συ. 8, 27. Ἀπορῆσαι ἐποίησε τὸν Θηβαῖον ὅτι Μαντινέας ὀλίγους τινὰς πάνυ εἶχεν. Ξε. Ἑλ. 7, 4, 37. Τά τε ἄλλα ζηλῶ σε τοῦ πλούτου καὶ ὅτι οἱ ἄνθρωποι, ἢν μὴ δανείσῃς, οὐκ ὀργίζονται. Ξε. συ. 4, 45. — Οἶμαι ἡμᾶς ἐρεῖν ὡς ἄρα καὶ ποιηταὶ καὶ λογοποιοὶ κακῶς λέγουσι περὶ τῶν ἀνθρώπων τὰ μέγιστα, ὅτι εἰσὶν ἄδικοι μέν, εὐδαίμονες δὲ πολλοί, δίκαιοι δ' ἄθλιοι, καὶ ὡς λυσιτελεῖ τὸ ἀδικεῖν, ἐὰν λανθάνῃ. Πλ. πολ. 392.

A. 4. Statt eines Satzes mit ὅτι oder ὡς erscheint vielfach die Construction mit dem Infinitiv § 55, 4 mit den A., oder mit dem Particip § 56, 1—7 vgl. A. 12; letzteres überhaupt in sofern es als Prädicat zu betrachten ist, während ein Satz mit ὅτι den Gedanken als Thatsache, mit ὡς als zur Betrachtung vorliegende Thatsache, die Construction mit dem Infinitiv bloß subjectiv Aufgefaßtes oder Angenommenes vorstellt. Daher findet sich nach Verben die rein subjectiv eine unsichere Ansicht ausdrücken ὅτι oder ὡς fast niemals. So nach οἴεσθαι, δοκεῖν, ἐλπίζειν, φάναι. Denn auch in φάναι liegt ein subjectiver Begriff: seine Meinung sagen, während die objectiven Synonyma λέγειν reden (mit Bezug auf den Inhalt), εἰπεῖν sprechen (mit Bezug auf den Ausdruck) nicht selten auch mit ὅτι oder ὡς erscheinen. [Vereinzelt φάναι ὅτι Plat. Gorg. 487, ὡς Dem. 4, 48, Xen. Hell. 6, 3, 7, wie οἴεσθαι ὡς Xen. Mem. 3, 3, 14, ἐλπίζειν ὡς z. Th. 5, 9, 2; von Spätern δοκεῖ ὅτι Polyb. 28, 9, 4, ἐλπίζειν ὅτι Kr. z. Arr. An. 1, 4, 7 lat. A. Daher ferner steht z. B. bei γιγνώσκειν, wenn es urtheilen, beschließen, bei εἰδέναι wenn es verstehen bedeutet der Infinitiv. Πείθειν mit dem Inf. heißt überreden etwas zu thun vgl. § 55,

3, 12; mit ὡς etwas zu glauben. Ἐμέ γε οὐ πείθει ὡς ἔστιν ἡ ἀδικία τῆς δικαιοσύνης κερδαλεώτερον. Πλ. πολ. 345.

A. 5. Der Satz mit ὅτι (oder ὡς) wird zuweilen durch einen relativen oder hypothetischen von dem welchem er anzufügen ist getrennt. Doch erscheint ὅτι in solchen Fällen auch doppelt. [Kr. z. Xe. An. 1, 6, 2.] Ἐκέλευσεν ἀνειπεῖν, ὃς ἂν μὴ παρῇ, ὅτι αὐτὸς αὐτὸν αἰτιάσεται. Ξε. ἀν. 7, 1, 11. Ἠπείλουν αὐτῷ, εἰ λήψονται ἀποδιδράσκοντα, ὅτι τὴν δίκην ἐπιθήσοιεν. Ξε. ἀν. 5, 6, 34. — Ἔλεγεν ὅτι, εἰ μὴ καταβήσονται, ὅτι κατακαύσει τὰς κώμας. Ξε. ἀν. 7, 4, 5. Σαφὲς δοκεῖ εἶναι ὡς εἰ μέλλουσι πᾶσαι αἱ πρόσοδοι ἐκ πόλεως προσιέναι, ὅτι εἰρήνην δεῖ ὑπάρχειν. Ξε. π. πό. 5, 1. [zu Xe. An. 3, 2, 25.]

A. 6. Ein Satz mit ὅτι oder ὡς (auch mit εἰ ob) kann sich auf einen zu ergänzenden Gedanken wie: damit man einsehe, beziehen, wenn als Nachsatz desselben eine Aufforderung folgt. Ὅτι οὐ ληρῶ, ἐκεῖθεν τὸν λόγον θεωρήσατε. Αἰ. 3, 251. Ὡς (ὅτι) ἀληθῆ λέγω, κάλει μοι τοὺς μάρτυρας. Ἀνδ. 1, 123. — (Εἰ εἰκότα λογίζομαι, σκόπει καὶ ταῦτα. Ξε. Ἑλ. 6, 1, 11.

A. 7. Nach Verben der Gefühle, besonders nach θαυμάζειν, kann ein Fragesatz eintreten, in sofern sie den Wunsch zu wissen mit andeuten, wie miror quid, zuweilen unser ich begreife nicht was. [zu Xe. An. 1, 8, 16.] Ἐθαύμαζον ὅποι ποτὲ τρέψονται καὶ τί ἐν νῷ ἔχοιεν. Ξε. ἀν. 3, 5, 13. Ἔγωγε ὅ, τι ποτὲ ἐρεῖ πρὸς ἡμᾶς θαυμάζω. Δη. 37, 44. Τοῦτο ἴσως θαυμάζεις σὺ πῶς ἐγὼ ἀνήλωκα. Ξε. Κυ. 2, 4, 9. Θαυμάζω πότερα ὡς κρατῶν βασιλεὺς αἰτεῖ τὰ ὅπλα ἢ ὡς δῶρα. Ξε. ἀν. 2, 1, 10.

A. 8. Wie ἦ nur in der directen, so steht εἰ nur in der indirecten Frage. Nach Begriffen der Ungewißheit entspricht es auch unserm ob nicht, indem der Grieche die reine Ungewißheit ausspricht wo wir eine präsumptive Möglichkeit andeuten. [zu Xe. An. 3, 2, 22.] Οὔτε τῷ πολιτικῷ δῆλον εἰ συμφέρει τῆς πόλεως προστατεῖν οὔτε τῷ καλὴν γήμαντι, ἵνα εὐφραίνηται, δῆλον εἰ διὰ ταύτης ἀνιάσεται. Ξε. ἀπ. 1, 1, 8. Πολλὰ δύσκολα εὕροις ἂν ἐν τοῖς πᾶσιν, ἀλλ' εἰ πλείονα τὰ συμφέροντ' ἔνεστι, τοῦτο δεῖ σκοπεῖν. Μέ 88. Τίς οἶδεν εἰ ζῆν τοῦθ' ὃ κέκληται θανεῖν, τὸ ζῆν δὲ θνήσκειν ἐστίν; Εὐ. Φρίξ. 14. Τὰ ἐκπώματα οὐκ οἶδ' εἰ Χρυσάντᾳ τούτῳ δῶ. Ξε. Κυ. 8, 4, 16. vgl. Bekker Hom. Blätter S. 289 f.

(A. 9. Aehnlich findet sich εἰ nach Begriffen der Furcht, da auch sie eine Ungewißheit ist, für unser ob oder ob nicht, also dem μὴ οὐ wie dem μή synonym. Φόβος εἴ μοι ζῶσιν οὓς ἐγὼ θέλω. Εὐ. Ἡρ. 791. Φέρουσά σοι νέους ἥκω λόγους φόβῳ μὲν εἴ τις δεσποτῶν αἰσθήσεται. Εὐ. Ἀνδρ. 60. Οὐ δέδοικα εἰ Φίλιππος ζῇ, ἀλλ' εἰ τῆς πόλεως τέθνηκε τὸ τοὺς ἀδικοῦντας μισεῖν καὶ τιμωρεῖσθαι. Δη. 19, 289. (Φοβοῦνται ὅποι ποτὲ προβήσεται ἡ τοῦ ἀνδρὸς δύναμις. Ξε. Ἑλ. 6, 1, 14. vgl. Elmsley zu Eu. Med. 181. 901.)

A. 10. Elliptisch stehen εἰ u. ἐάν, indem nach Begriffen der Wahrnehmung ein um zu erkennen, nach denen der Verrichtung ein um zu ermitteln, zu versuchen (πειρώμενος) vorschwebt. Ἄκουε εἴ τι ἄρα λέγω. Πλ. πολ. 432. Ἄκουσον ἤν τι καὶ γυνὴ λέξῃ σοφόν. Εὐ. Ἑλ. 1055. Ἄθρει εἰ τὰ προςήκοντα ἑκάστοις ἀποδιδόντες τὸ ὅλον καλὸν ποιοῦμεν. Πλ. πολ. 420. — Ἀγωνίζομαι εἰ χρή μετεῖναί μοι τῆς πόλεως. Ἰσ. 16, 46. Διεξεληλύθασι διὰ πασῶν τῶν ζημιῶν οἱ ἄνθρωποι προστιθέντες, εἴ πως ἧσσον ἀδικοῖντο ὑπὸ τῶν κακούργων. Θ. 3, 45, 2. Τί δέ; εἰ καὶ σὺ παρακελεύσαιο, εἰ ἄρα τι καὶ σὺ ἀμείνους ποιήσαις τοὺς στρατιώτας; Ξε. Κυ. 3, 3, 49. Τὸ ἑξῆς τούτοις πειράσομαι διελθεῖν, ἐάν πως ἐκκαλέσωμαι καὶ ἐλεήσαντέ με σπουδάσητον. Πλ. Εὐθύδ. 288. [Ueber den Ao. § 53, 6, 4.]

A. 11. In der indirecten Gegenfrage erscheint neben πότερον, πότερα oder εἰ — ἢ häufig εἴτε — εἴτε. (Ὁπότερα, εἴτε λαθόντες τὸν Λύσανδρον ἐπέπεσον αὐτῷ, εἴτε καὶ αἰσθόμενος προσιόντας ὡς κρατήσων ὑπέμενεν ἄδηλον. Ξε. Ἑλ. 3, 5, 19.) Παρὰ τῆς Ἑκάτης ἔξεστι τοῦτο πυθέσθαι, εἴτε τὸ πλουτεῖν εἴτε τὸ πεινῆν βέλτιον. Ἀρ. πλ. 594. Τοὺς παῖδας οὔπω ἴστε εἴτε ἀγα-

θοὶ εἴτε κακοὶ ἡβήσαντες γενήσονται. Λυ. 20, 34. (Ἐβουλεύοντο εἴτε διακινδυνεύσωσιν ἐκπλεῦσαι, εἴτε κατὰ γῆν ἔλθωσιν. Θ. 7, 1, 1.)

2. **Real abhängig** sind Sätze die eine **Folge** des Hauptsatzes ausdrücken. Die Folge ist entweder eine **unbeabsichtigte** oder eine **beabsichtigte**: **consecutive** oder **finale** Sätze.

3. Die **unbeabsichtigte Folge** bezeichnet *ὥστε* mit einem **bestimmten Modus**, gew. dem **Indicativ**, wenn sie als eine positive Thatsache ausgesprochen wird; *ὥστε* mit dem **Infinitiv**, wenn sie als eine der Beschaffenheit des Hauptsatzes oder eines Begriffes desselben gemäße **Wirkung** zu denken ist; auch von wirklich Geschehenem in sofern es als eine solche Wirkung bloß gedacht wird. Vgl. § 55, 3, 6 und über das Subject eb. 2 A. 1. *Οὕτως ἰσχυρόν ἐστιν ἡ ἀλήθεια ὥστε πάντων ἐπικρατεῖ τῶν ἀνθρωπίνων λογισμῶν. Αἰ.* 1, 84. *Τὰ ἐν τῷ βίῳ εἶναι οὕτως ἡμῖν δοκεῖ παντὸς ἄξια ὥστε πάντες τὸ καταλιπεῖν αὐτὰ πάντων μάλιστα φεύγομεν. Ξε. ἀπ.* 2, 2, 3. *Λακεδαιμόνιοι τοσοῦτον ἀπολελειμμένοι τῆς κοινῆς παιδείας καὶ φιλοσοφίας εἰσὶν ὥστ' οὐδὲ γράμματα μανθάνουσιν. Ἰσ.* 12, 209. — *Κλέαρχος ἤλαυνεν ἐπὶ τοὺς Μένωνος, ὥστε ἐκείνους ἐκπεπλῆχθαι. Ξε. ἀν.* 1, 5, 13. — *Χρὴ εἰς τοιοῦτον ἀγῶνα μηδέποτε καταστῆναι ὥστε πάντα λαβεῖν ἢ πάντ' ἀποβαλεῖν. Ξε. Ἑλ.* 6, 3, 17. *Μὴ ἡ βία σε μηδαμῶς νικησάτω τοσόνδε μισεῖν ὥστε τὴν δίκην πατεῖν. Σο. Αἴ.* 1334. *Διὰ παντὸς τοῦ χρόνου τὴν ἀλήθειαν οὕτω φαίνου προτιμῶν ὥστε πιστοτέρους εἶναι τοὺς σοὺς λόγους ἢ τοὺς τῶν ἄλλων ὅρκους. Ἰσ.* 2, 22. *Τὰ παραδείγματα τὰ γεγενημένα τῶν ἁμαρτημάτων ἱκανὰ τοῖς σώφροσι τῶν ἀνθρώπων ὥστε μηκέτι ἁμαρτάνειν. Ἀνδ.* 3, 32. (*Τοσοῦτόν τι ἀγαθὸν κρίνω ἔγωγε τὸ φιλεῖσθαι εἶναι ὥστε νομίζω τῷ ὄντι αὐτόματα τἀγαθὰ τῷ φιλουμένῳ γίγνεσθαι καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων. Ξε. Ἱέρ.* 3, 5.)

A. 1. Dem gemäß steht ὥστε besonders in der Bedeutung **weßhalb, daher** nur mit einem bestimmten Modus, dem **Indicativ**, auch mit ἄν, dem **Optativ**, meist mit ἄν, dem **Imperativ** und imperativen **Conjunctiv**; nur mit dem **Infinitiv** nach ἤ bei **Comparativen** (§ 49, 4 vgl. 1) und wenn es etwas zu Erstrebendes einführt (synonym mit ὅπως), wie in der Bedeutung **unter der Bedingung daß** und in den Verbindungen wo auch der bloße Infinitiv statthaft wäre. (Vgl. m. A. zum Thuk. 1, 119 u. 2, 2, 4.) Ἀρκεῖ μοι μικρὰ καὶ μειζόνων αἰσχρῶς οὐκ ἐπιθυμῶ, ὥστε καὶ σιγῶ καὶ λέγω βουλευσάμενος. Αἰ. 3, 218. Κλεάρχου τὸ χαλεπὸν ἐρρωμένον πρὸς τοὺς πολεμίους ἐδόκει εἶναι, ὥστε σωτήριον καὶ οὐκέτι χαλεπὸν ἐφαίνετο. Ξε. ἀν. 2, 6, 11. — Τὸ χωρίον πανταχόθεν κάτοπτόν ἐστιν, ὥστε τίς ἂν ἀπετόλμησεν ἐπιχειρῆσαι τοιούτῳ πράγματι; Λυ. 7, 28. — Εἴ τις χρῷτο τῷ ἀργυρίῳ ὥστε πριάμενος κακόν τι διὰ τοῦτο κάκιον ἔχοι, πῶς ἂν ἔτι τὸ ἀργύριον αὐτῷ ὠφέλιμον εἴη; Ξε. οἰκ. 1, 13. Οὐκ ἐδίδαξεν, ὥστε αὐτοὺς ἂν ἡμᾶς δέοι τούς τε ἀγαθοὺς καὶ τοὺς κακοὺς κρίνειν. Ξε. ἀπ. 3, 1, 9. (Ἐπίστασθε, ὥστε κἂν ἄλλους εἰκότως ἂν διδάσκοιτε. Ξε. Κυ. 3, 3, 35. — Τὰ πολλὰ ὁ Πρωταγόρας ἔνδον διατρίβει, ὥστε θάρρει. Πλ. Πρω. 311. — Ἕτοιμος καὶ Κέβης, ὥστε μήτε ταῦτα φοβούμενος ἀποκάμῃς σαυτὸν σῶσαι, μήτε ὃ ἔλεγες ἐν τῷ δικαστηρίῳ δυσχερές σοι γενέσθω. Πλ. Κριτ. 45.

Χρὴ πάντα ποιεῖν ὥστε ἀρετῆς καὶ φρονήσεως μετασχεῖν. Πλ. Φαίδ. 114. Οἱ πρόγονοι ὑμῶν ἀποθνήσκειν ἐτόλμων ὥστε μὴ τὴν πόλιν ἀδοξεῖν. Λυκ. 82. Ἐξῆν αὐτοῖς τῶν λοιπῶν ἄρχειν Ἑλλήνων ὥστ' αὐτοὺς ὑπακούειν βασιλεῖ. Δη. 6, 11. Ὃ τοῖς πλείστοις ἐργωδέστατόν ἐστιν, ὥστε φυλάξασθαι τὸ ὑπὲρ τὸν καιρὸν ἐμπίπλασθαι, τοῦτο ῥᾳδίως πάνυ ἐφυλάττετο. Ξε. ἀπ. 1, 3, 6. Πολλάκις γέγονεν ὥστε καὶ τοὺς μείζω δύναμιν ἔχοντας ὑπὸ τῶν

ἀσθενεστέρων κρατηθῆναι. Ἰσ. 6, 40. Ἀδύνατον ὑμῖν ὥστε Πρωταγόρου τοῦδε σοφώτερόν τιν' ἑλέσθαι. Πλ. Πρω. 338.

A. 2. Dem Infinitiv nach ὥστε wird ἄν beigefügt wo in selbständiger Rede ἄν mit (dem Optativ oder) dem Indicativ eines historischen Tempus stehen würde. (Ἐγὼ ἐπὶ τούςδε ἐλῶ, ὥστε ἂν ἀναγκασθῆναι ἡμῖν προςέχειν τὸν νοῦν. Ξε. Κυ. 1, 4, 20.) Σωκράτης οὕτως ἤδη τότε πόρρω τῆς ἡλικίας ἦν ὥστ', εἰ καὶ μὴ τότε (erg. ἐτελεύτησεν), οὐκ ἂν πολλῷ ὕστερον τελευτῆσαι τὸν βίον. Ξε. ἀπ. 4, 8, 1. (vgl. § 54, 10, 2.) Δέκα μῆνας τἀνθρώπου ἀπολῃφθέντος, ὥστε μὴ ἂν δύνασθαι ἐπανελθεῖν οἴκαδε, τῶν ὑμετέρων αὐτῶν οὐδὲν ἐκομίσασθε. Δη. 8, 35. (vgl. § 54, 3, 10.)

A. 3. Ueber ἐφ' ᾧ (τε) unter der Bedingung daß mit dem Infinitiv § 55, 3, 6. [vgl. Lennep z. Phal. p. 268.] Mit dem Indicativ des Futurs findet sich diese Formel besonders bei Thukydides. Vgl. § 55, 3, 6. Μετὰ τὴν ἐν Κορωνείᾳ μάχην τὴν Βοιωτίαν ἐξέλιπον Ἀθηναῖοι πᾶσαν, σπονδὰς ποιησάμενοι ἐφ' ᾧ τοὺς ἄνδρας κομιοῦνται. Θ. 1, 113, 2. (Πάντα κίνδυνον ὑποδύονται ἐφ' ᾧ πλείονα κτήσονται. Ξε. συ. 4, 35. Vgl. Her. 3, 36, 3. 6, 65, 1.)

A. 4. Mehrfach eben so wie ὥστε findet sich, jedoch viel seltener, ὡς mit dem Infinitiv (vgl. § 49, 4, neben ὥστε Xen. ἱππ. 10, 12), zuweilen auch mit dem Begriffe des Beabsichtigten, der aber mehr im Infinitiv als in der Conjunction enthalten ist. [So am häufigsten bei Spätern, besonders bei Arrian. Vgl. Sintenis zu Plut. Them. 26.] Ueber ὡς εἰπεῖν u. a. § 55, 1, 2 u. 3. Ἐδόξατέ μοι φάναι τῆς ἀρετῆς μόρια εἶναι οὕτως ἔχοντα πρὸς ἄλληλα ὡς οὐκ εἶναι τὸ ἕτερον αὐτῶν οἷον τὸ ἕτερον. Πλ. Πρω. 330. Ἐπίσταμαι ἰδιώτας ὄντας ὡς πρὸς ἡμᾶς ἀγωνίζεσθαι. Ξε. Κυ. 1, 5, 11. — Φέρονται σῖτον μὲν ἄρτους, πιεῖν δέ, ἤν τις διψῇ, κώθωνα, ὡς ἀπὸ τοῦ ποταμοῦ ἀρύσασθαι. Ξε. Κυ. 1, 2, 8. Ἔχεις τι εἰπεῖν ὡς μὴ μισεῖσθαι; Ξε. Ἱέρ. 10, 1. (Ἐν τῷ ἀσφαλεῖ ἤδη ἔσομαι ὡς μηδὲν ἂν ἔτι κακὸν παθεῖν. Ξε. Κυ. 8, 7, 27.) — Οὕτω πολλὰ ἔχω ὡς μόλις αὐτὰ καὶ ἐγὼ αὐτὸς [ἂν] εὑρίσκω. Ξε. συ. 4, 37. Οὐκ ἄν ποτε οὕτω μωροὶ ἦσαν ὡς εἰ ᾔδεσαν, ἐν τῷ ἄστει ἂν ὑποχειρίους αὐτοὺς παρεῖχον. Ξε. Ἑλ. 5, 4, 22. Τοιοῦτόν τι ἐποίησεν ὡς πᾶς ἂν ἔγνω ὅτι ἀσμένη ἤκουσεν. Ξε. συ. 9, 3. — Πάντα ταῦτα οὕτως ἡδέα μοι δοκεῖ εἶναι ὡς μᾶλλον ἥδεσθαι, ποιῶν ἕκαστα, οὐκ ἂν εὐξαίμην. Ξε. συ. 4, 39.

4. Die bezweckte oder beabsichtigte Folge bezeichnen *ἵνα, ὡς, ὅπως*, wie negativ *μή* ne, *ἵνα μή, ὡς μή, ὅπως μή* mit dem Conjunctiv oder Optativ: finale Sätze. S. § 54, 8, 1 ff.

A. 1. Ueber μή (οὐ) nach Begriffen der Furcht eb. A. 9—13.

A. 2. Ueber die Modi des Präsens und Aorists § 53, 6, 4; über die Zweckpartikeln mit dem Indicativ § 54, 8, 12, historischer Tempora eb. A. 8.

A. 3. Die Relative, von einer beabsichtigten Bestimmung gebraucht, stehen mit dem Indicativ des Futurs nach § 53, 7, 7, so auch oft ὅπως nach § 54, 8, 5 u. 6 vgl. A. 7.

A. 4. Ueber ἵνα τί § 51, 17, 8.

A. 5. Ueber ὅπως (μή) u. μή ohne Hauptsatz § 54, 8, 7 u. 13. Ueber einen nach ἵνα oder ὡς fehlenden Zwischengedanken eb. A. 14.

A. 6. Ueber das finale Particip des Futurs § 56, 12, 1. Vgl. 10 A. 1; 53, 7, 9.

II. Hypothetische, relative, temporale, caussale Sätze.

5. Ein Verhältniß von Grund und Folge findet sich auch bei den hypothetischen Sätzen. S. § 54, 9—12 mit den A.

A. 1. Umwandlung finaler Verhältnisse in hypothetische: τὸν κακὸν δεῖ

κολάζειν, ἵν' ἀμείνων ᾖ = ἐὰν τὸν κακὸν κολάσῃς, ἀμείνων ἔσται. Vgl. § 54, 8, 1 mit 12 A. 1; ferner 8 A. 8 mit 10 A. 2.

Uebersicht der gewöhnlichsten hypothetischen Verhältnisse.

A. 2. A) Rein objective Bedingung, d. h. eine solche bei welcher der Redende von seiner Ansicht über ihre Wahrheit nichts andeutet: im Vordersatze εἰ mit dem Indicativ; im Nachsatze der Indicativ ohne ἄν, wenn die Folge als nothwendig oder unausbleiblich erscheint (§ 54, 9 vgl. 12 A. 2); der Optativ mit ἄν, wenn sie als von Umständen abhängig vorgestellt wird. Vgl. § 54, 3, 6 u. 7. Εἰ ἐθέλεις ἐννοῆσαι τήν γε τῶν ἄλλων ἀνδρίαν τε καὶ σωφροσύνην, δόξει σοι εἶναι ἄτοπος. Πλ. Φαίδ. 68. Εἰ ἐς ἀλλήλους ἄδικόν τι φρονήσετε, ἐκ πάντων τῶν ἀνθρώπων τὸ ἀξιόπιστοι εἶναι ἀποβαλεῖτε. Ξε. Κυ. 8, 7, 23. — Εἰ τοῦτο ἀγνοεῖς ὅτι πίστεις ἀφορμὴ πασῶν ἐστι μεγίστη πρὸς χρηματισμόν, πᾶν ἂν ἀγνοήσειας. Δη. 36, 44. Εἰ ἄλλοι τινὲς τῶν αὐτῶν πραγμάτων πρᾳότερον ἐπεμελήθησαν, εἰκότως ἂν ἡμῖν ἐπιτιμῷεν. Ἰσ. 4, † † †. Εἰ οὗτοι ὀρθῶς ἀπέστησαν, ὑμεῖς ἂν οὐ χρεὼν ἄρχοιτε. Θ. 3, 40, 4. Κατάστασις γένοιτ' ἂν οὐδενὸς νόμου, εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν. Σο. Αἴ. 1247.

A. 3. B) Objective Bedingung mit der Idee eventueller Verwirklichung: im Vordersatze ἐάν, ἤν, ἄν mit dem Conjunctiv; über den Nachsatz § 54, 12, 1. Ueber den Conjunctiv des Ao. § 53, 6, 5. Ἐὰν μὲν καλὴν γήμω, ἕξω κοινήν, ἐὰν δὲ αἰσχράν, ποινήν. Στ. 67, 17.

A. 4. C) Rein subjective, bloß gedachte, Bedingung, ohne Vorurtheil für oder gegen die Verwirklichung: im Vordersatze der Optativ, im Nachsatze der Optativ mit ἄν, wenn die Consequenz als eine eventuelle; mit dem Indicativ ohne ἄν, wenn sie als eine unzweifelhafte zu denken ist. (Ueber εἰ mit dem Conjunctiv § 54, 12, 3.) Εἰ κατασταίην εἰς ἔλεγχον καὶ λόγον, δυνηθείην ἂν ἐπιδεῖξαι πάντας ἀνθρώπους πλείους ἐπιστήμας ἔχοντας διὰ τῆς ἀκοῆς ἢ διὰ τῆς ὄψεως. Ἰσ. 12, 150. — Μὴ λέγ' εὖ· τὸ γὰρ λέγειν εὖ δεινόν ἐστιν, εἰ φέροι τινὰ βλάβην. Εὐ. Ἀρχ. 29. Τί δεῖ καλῆς γυναικός, εἰ μὴ τὰς φρένας χρηστὰς ἔχοι; Εὐ. Ἀντιόπη 19. Ὦ παρθέν', εἰ σώσαιμί σ', εἴσει μοι χάριν; Εὐ. Ἀνδρομέδα 9.

A. 5. D) Subjective Bedingung mit der Idee daß sie nicht wirklich sei: im Vordersatze εἰ mit dem Indicativ eines historischen Tempus; im Nachsatze der Indicativ eines historischen Tempus ohne ἄν, wenn die Folge als unausbleiblich erscheint nach § 54, 10, 1 vgl. 12 A. 7; der Indicativ eines historischen Tempus mit ἄν, wenn sie als eventuell verwirklicht vorzustellen ist. Vergangenes als Bedingung ausgesprochen kann nicht anders als bezweifelt oder nicht wirklich scheinen. Denn sonst würde es aufhören Bedingung zu sein, statt wenn müßte da eintreten. Ueber die Bedeutung der verschiedenen historischen Tempora § 54, 10, 2 u. 3. Ἡ πόλις ἐκινδύνευσε πᾶσα διαφθαρῆναι, εἰ ἄνεμος ἐπεγένετο. Θ. 3, 74, 2. Εἰ ἐγὼ ἤδη ἠκηκόη τὴν ἐπίδειξιν, οὐδὲν ἂν ἐκώλυέ σε αὐτίκα μάλα εἰδέναι τὴν ἀλήθειαν· νῦν δὲ οὐκ ἀκήκοα. Πλ. Κρατ. 384.

(A. 6. Auch durch den Indicativ des Präsens (und Futurs nach § 54, 12, 2) ausgedrückt kann eine Bedingung als zweifelhaft erscheinen, ja als bestimmt abgelehnt. Im Nachsatze pflegt dann, wie zuweilen auch nach dem Indicativ eines Imperfects oder Aorists, der Optativ mit ἄν einzutreten. Εἰ μηδὲ ταῦτα οἶδα, καὶ τῶν ἀνδραπόδων φαυλότερος ἂν εἴην. Ξε. ἀπ. 4, 2, 31. Πολλὴ ἄν τις εὐδαιμονία εἴη περὶ τοὺς νέους, εἰ εἷς μὲν μόνος αὐτοὺς διαφθείρει, οἱ δ' ἄλλοι ὠφελοῦσιν. Πλ. ἀπ. 25. — Οὐκ ἂν θαυμάζοιμι, εἰ τότε ἀποπειρώμενός μου ταῦτά πως ἔλεγες. Πλ. Πρω. 349. Τὸ πρῶτον τοῦ ᾄσματος μανικὸν ἂν φανείη, εἰ ἐνέβαλε τὸ μέν. Πλ. 343.)

A. 7. Umgekehrt kann εἰ mit dem Indicativ auch eines historischen Tempus von einer nicht bezweifelten Sache vorkommen, besonders in sofern man den Schein doch wohl noch denkbaren Zweifels annimmt. So am häufigsten

nach θαυμάζω u. ä. Begriffen, wo es denn dem ὅτι synonym erscheint. Οὐ δίκαιον, εἴ τινες τοὺς ἀπαντῶντας τύπτουσι, τῆς ῥώμης κατηγορεῖν. Ἰσ. 13, 4. Ἔλεγον οὐ καλῶς τὴν Ἑλλάδα ἐλευθεροῦν αὐτόν, εἰ ἄνδρας διέφθειρεν οὔτε χεῖρας ἀνταιρομένους οὔτε πολεμίους. Θ. 3, 32, 1. — Τόδε ἐθαύμασα, εἰ ἐν ἀρετῆς καὶ σοφίας τίθης μέρει τὴν ἀδικίαν, τὴν δὲ δικαιοσύνην ἐν τοῖς ἐναντίοις. Πλ. πολ. 348. Θαυμαστὸν οὐδὲν πεποιήκαμεν οὐδ' ἀπὸ τοῦ ἀνθρωπείου τρόπου, εἰ ἀρχὴν διδομένην ἐδεξάμεθα. Θ. 1, 76, 2. — Οὐκ αἰσχύνομαι, εἰ τῶν νόμων ἔλαττον δύναμαι. Ἀνδ. 4, 42. Πότερον ἐπὶ τούτῳ γελᾶτε, εἰ βούλομαι γυμναζόμενος μᾶλλον ὑγιαίνειν ἢ εἰ ἥδιον ἐσθίειν καὶ καθεύδειν; Ξε. συ. 2, 17. Δημοσθένης οὐκ ἀγαπᾷ, εἰ μὴ δίκην δέδωκεν, ἀλλ' εἰ μὴ καὶ χρυσῷ στεφάνῳ στεφανωθήσεται ἀγανακτεῖ. Αἰ. 3, 147. Φθονεῖς ἄπαις οὖσ', εἰ πατὴρ ἐξεῦρέ με. Εὐ. Ἴων 1302.

A. 8. Ueber die Bedeutung des Conjunctivs und Optativs des Aorists in hypothetischen Sätzen § 53, 6, 5; das hypothetische Particip § 56, 11; mehrere Bedingungssätze bei einem Hauptsatze § 54, 12, 8. Εἰ mit dem Optativ kann auch, wenn im Nachsatze ein historisches Tempus steht, iterative Bedeutung haben. Vgl. § 54, 12, 5 Εἴ τινες διώξειαν αὐτούς, τούτους, ὁπότε ἀποχωροῖεν, ἐπικείμενοι καὶ ἀκοντίζοντες δεινὰ εἰργάζοντο. Ξε. Ἑλ. 7, 1, 21.

A. 9. Ein Satz mit εἴ τις, ἐάν τις kann als Casus eintreten (gleich den relativen Sätzen § 51, 13, 1—5), übersetzbar durch wer etwa, si quis. Vgl § 60, 10, 1. Ἀθηναῖοι καὶ εἴ τινες τῶν ξυμμάχων παρῆσαν ἐπλήρουν τὰς ναῦς. Θ. 6, 30, 2. Δίδασκε εἴ τι ἔχεις σοφόν. Ξε. συ. 5, 2. Ποιοῦσιν ὑμᾶς εἴ τι τυγχάνουσιν ἀγαθόν. Ἀνδ. 2, 17.

A. 10. (Urgirt wird die Bedingung durch die Formel εἰ τὰ μάλιστα wenn auch noch so sehr. Τίνος εἵνεκ', εἰ τὰ μάλιστα μὴ τινὲς ἀλλὰ πάντες ἦσαν ἀνάξιοι, τῶν αὐτῶν ἠξίωσεν ὑμᾶς τε καὶ τούτους. Δη. 20, 2.)

A. 11. Das Verbum kann bei den Bedingungspartikeln zuweilen fehlen. So ἐστί bei εἴ, ein Begriff des Hinderns bei εἰ μὴ διὰ — nach § 54, 12, 10. Nicht selten ist aus dem Hauptsatze besonders zu εἴπερ und εἴπερ ποτέ das Verbum zu ergänzen. So auch erhielt εἰ μή nach Negationen die Bedeutung außer, nisi (selbst in der Verbindung εἰ μὴ εἴ z. Th. 1, 17, 1). Seltener steht ähnlich ὅτι μή. Οὐ κελεύσω, εἰ μὴ ξυμφέρον. Θ. 3, 44, 1. Αἱρήσει Θεαίτητον ἢ καὶ τῶν ἄλλων εἴ τίς σοι κατὰ νοῦν. Πλ. σο. 217. — Οὐ τὸ μὴ βούλεσθαι, ἀλλ', εἴπερ, τὸ μὴ δύνασθαι διακωλύσει. Πλ. πολ. 497. — Φημὶ δεῖν ἐθελῆσαι, εἴπερ ποτέ, καὶ νῦν. Δη. 1, 6. — Ἡμῖν οὐδέν ἐστιν ἀγαθὸν ἄλλο εἰ μὴ ὅπλα καὶ ἀρετή. Ξε. ἀν. 2, 1, 12. (Ὁ χρηματιστικὸς πρὸς τὸ κερδαίνειν τὴν τοῦ τιμᾶσθαι ἡδονὴν ἢ τὴν τοῦ μανθάνειν οὐδενὸς ἀξίαν φήσει, εἰ μὴ εἴ τις αὐτῶν ἀργύριον ποιεῖ. Πλ. πολ. 581.) Σωκράτης οὔτ' ἐπὶ θεωρίαν πώποτε ἐκ τῆς πόλεως ἐξῆλθεν, ὅτι μὴ ἅπαξ εἰς Ἰσθμόν, οὔτε ἄλλοσε οὐδαμόσε, εἰ μή ποι στρατευσόμενος. Πλ. Κρίτ. 52. Vgl. § 62, 1, 4 u. z. Th. 4, 26, 3.

A. 12. Auch die Adversationsformel εἰ δὲ μή wenn aber nicht steht häufig ohne Verbum, z. B. nach μάλιστα μέν am liebsten, was am besten ist. [z. Th. 1, 32, 1. vgl. 6, 16, 5.] Zuweilen ist dabei ein bloß dem Zusammenhange gemäßes Verbum zu denken. Einmal stereotyp geworden erscheint εἰ δὲ μή auch nach ἐὰν μέν; und, da der Begriff der Negation in dem allgemeinen widrigenfalls aufgegangen ist, selbst nach negativen Sätzen für εἰ δέ. Μάλιστα μὲν εὑρετὴς γίγνου τῶν βελτίστων· εἰ δὲ μή, μιμοῦ τὰ παρὰ τοῖς ἄλλοις ὀρθῶς ἔχοντα. Ἰσ. 2, 17. — Ἐὰν μέν τι ὑμῖν δοκῶ λέγειν ἀληθές, ξυνομολογήσατε· εἰ δὲ μή, παντὶ λόγῳ ἀντιτείνετε. Πλ. Φαίδ. 91. — Ἔρωτα παύει λιμός· εἰ δὲ μή, χρόνος. Κράτης 17, 1. Ἀπῄτει τὰ χρήματα· εἰ δὲ μή (erg. λήψεται), πολεμήσειν ἔφη αὐτοῖς. Ξε. Ἑλ. 1, 3, 3. — Πόλεμον οὐκ εἴων ποιεῖν· εἰ δὲ μή, καὶ αὐτοὶ ἀναγκασθήσεσθαι ἔφασαν φίλους ποιεῖσθαι οὓς οὐ βούλονται. Θ. 1, 28, 2. Εὔχου μὴ λαβεῖν πεῖραν φίλων· εἰ δὲ μή, γνώσει σεαυτὸν ἄλλο μηδὲν πλὴν σκιάν. Φιλή. 8314. (Τί οὐκ ἀπέδειξας,

εἰ μὲν βούλει ἐρωτῶν ἐμὲ ὥσπερ ἐγὼ σέ· εἰ δέ (erg. βούλει), καὶ αὐτὸς ἐπὶ σαυτοῦ λόγῳ διέξελθε. Πλ. Ἀλκ. α, 114. Heind. z. Euth. 34.)

A. 13. Ueber den **fehlenden Nachsatz** § 51, 12, 12; ein scheinbares Fehlen desselben bei ἤ εἰ — eb. A. 11; Fehlen des Bedingungssatzes eb. A. 9.

A. 14. **Eine Auslassung** ähnlich der § 54, 8, 14 und § 65, 1, 6 erlaubte man sich zuweilen auch bei hypothetischen Sätzen: so wisse man daß, man würde sagen daß. Εἴ τις διλογεῖν ἡμᾶς οἴεται, ὅτι περὶ τῶν αὐτῶν λέγομεν νῦν τε καὶ πρόσθεν, οὐ διλογία ταῦτά ἐστιν. Ξε. Ἑλ. 1105. Εἰ ἦσθα μετρία, τἆλλά γ' ἡδίστη θεῶν πέφυκας. Εὐ. Ἱπ. 8, 2. Ἀτοπώτατον πρᾶγμα καὶ ἀπιστότατον ἐποίησεν, εἰ μή τις εἰδείη τὴν τούτου μανίαν. Λυ. 3, 7. — Οὐκ ἔστι λύπης, ἄνπερ ὀρθῶς τις σκοπῇ, ἄλγημα μεῖζον τῶν ἐν ἀνθρώποις φύσει. Μέ. 640.

A. 15. Καὶ εἴ (καὶ ἐάν) **auch wenn, selbst wenn, sogar dann wenn** ist verschieden von εἰ καί (ἐὰν καί) **wenn auch, wenn schon, obgleich.** Bei καὶ εἴ denkt man den Hauptsatz als **unabweislich bei jeder Bedingung,** selbst bei der ausgesprochenen, die als äußerste erscheint; bei εἰ καί die Bedingung, die wohl auch eintreten könne, als **gleichgültig** für den Hauptsatz. [Hermann z. Vig. 307.] Τῆς γῆς κρατοῦντες, καὶ εἰ θαλάττης εἴργοιντο, δύναιντ' ἂν καλῶς διαζῆν. Ξε. Ἑλ. 7, 1, 8. Ἡγεῖτο ἀνδρὸς εἶναι ἀγαθοῦ ὠφελεῖν τοὺς φίλους, καὶ εἰ μηδεὶς μέλλοι εἴσεσθαι. Λυ. 19, 59. Καὶ εἰ μηδένα ἀνθρώπων ᾐσχύνου, τοὺς θεοὺς ἐχρῆν σε δεδιέναι. Λυ. 32, 13. Ἀνὴρ πονηρὸς δυστυχεῖ, κἂν εὐτυχῇ. Μέ. μο. 19. — Μὴ ἀτιμάσωμεν εἰπεῖν, εἰ καί τῳ σμικρότερον δοκεῖ εἶναι. Πλ. Λά. 182. Εἰ καὶ βασιλεὺς πέφυκας, ὡς θνητὸς ἄκουσον. Σωτάδης Στ. 22, 26. (Εἰ καὶ διενοήθημεν ὅτι μάλιστα τῆς δίποδος ἀγέλης εἶναί τινι θρεπτικὴν τέχνην, οὐδέν τι μᾶλλον ἡμᾶς ἔδει βασιλικὴν αὐτὴν προσαγορεύειν. Πλ. πολιτ. 276. Τίς ἔστιν ὅστις, εἰ καὶ μηδεὶς ἄλλος ἐπῆν ἀγὼν ἔτι μηδὲ κίνδυνος, οὐκ ἂν ἐπ' αὐτῷ τούτῳ κατέδυ; Δη. 21, 199.) Τὰ δίκαια πάντες, ἐὰν καὶ μὴ βούλωνται, αἰσχύνονται μὴ πράττειν. Δη. 16, 24. (Οὕτω καὶ περὶ τῶν ἀρετῶν, κἂν εἰ πολλαὶ καὶ παντόδαπαί εἰσιν, ἕν γέ τι εἶδος ταὐτὸν πᾶσαι ἔχουσιν. Πλ. Μέν. 72. Heindorf zu Pl. Soph. 69.)

A. 16. Da εἰ καί die Bedingung als eine solche die auch eintreten könne vorstellt, so ist es zuweilen durch unser **wenn gleich, obgleich** zu übersetzen. In andern Fällen gehört das καί (wie auch μηδέ nach εἰ) zum folgenden Begriffe. Εἰ καὶ τυραννεῖς, ἐξισωτέον τὸ γοῦν ἴσ' ἀντιλέξαι· τοῦδε γὰρ κἀγὼ κρατῶ. Σο. ΟΤ. 408. — Δεινόν γ' εἶπας, εἰ καὶ ζῇς θανών. Σο. Αἴ. 1127. Εἰ καὶ μηδέν μοι τούτων ὑπῆρχε, δικαίως ἂν τῶν μεγίστων ἠξιώθην. Ἰσ. 19, 37.

A. 17. Von οὐδέ und μηδέ **selbst nicht** vor εἰ, ἐάν (ἐπειδάν) gehört nur das in ihnen enthaltene καί **selbst** zum Bedingungs-, die Negation zum Hauptsatze. Mithin ist οὐδ' εἴ (ἐάν) = καὶ εἴ (ἐάν) —, οὔ. Auch können sie, wenn schon der Hauptsatz mit einer Negation vorangeht, epanaleptisch vor εἰ, ἐάν eintreten. [zu Xe. An. 1, 6, 8.] Ueber den ähnlichen Gebrauch des οὐδέ bei Participien § 56, 13, 2. Von εἰ καί ist die Negation εἰ μηδέ. Οἱ μὴ χρησάμενοι τοῖς καιροῖς ὀρθῶς οὐδ' εἰ συνέβη τι παρὰ τῶν θεῶν χρηστὸν μνημονεύουσιν. Δη. 1, 11. Οὐδ' ἂν δεκάκις ἀποθάνῃ Φίλιππος, οὐδὲν μᾶλλον ὑμεῖς γε κινήσεσθε. Δη. 8, 37. Οὐδ' εἰ τρὶς ὅσα νῦν κέκτησαι, προσγένοιτό σοι, οὐδ' ὣς ἂν ἱκανά μοι δοκεῖ εἶναί σοι. Ξε. οἰκ. 2, 4. (Ὁ τύραννος οὐδ' ἐπειδὰν εἴσω τῆς οἰκίας παρέλθῃ, ἐν ἀκινδύνῳ ἐστίν. Ξε. Ἱέρ. 2, 10.) — Οὐκ ἂν τὰ θεῖα κρυπτόντων θεῶν μάθοις ἄν, οὐδ' εἰ πάντ' ἐπεξέλθοις σκοπῶν. Σο. ἀποσ. 659. Οὐ δεῖ διαβολῆς καταφρονεῖν, οὐδ' ἂν σφόδρ' ᾖ ψευδής. Μέ. 88. Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἓν μακρὸν νόμιζε κἂν δύ' εἴπῃ συλλαβάς· τὸν δ' εὖ λέγοντα μὴ νόμιζ' εἶναι μακρόν, μηδ' ἂν σφόδρ' εἴπῃ πολλὰ καὶ πολὺν χρόνον. Φιλή. 93. — Ἔμοιγε δοκεῖ καὶ εἰ μηδ' ἐν τῇ αὐτῇ πόλει εἴη τῷ κεκτημένῳ, πάντα τοῦ οἴκου εἶναι ὅσα τις κέκτηται. Ξε. οἰκ. 1, 5.

A. 18. In der **obliquen Rede** wird, wenn im Hauptsatze ein histori-

sches Tempus steht (vgl. § 54, 6, 2), von einem hypothetischen Satze der Indicativ der directen Rede in den Optativ verwandelt, oft jedoch auch beibehalten (vgl. § 54, 6, 2); immer bei Sätzen der § 54, 10 erwähnten Art (ein Beispiel § 54, 14, 2); der Conjunctiv mit ἄν bald beibehalten, bald in den Optativ ohne ἄν verwandelt nach § 54, 12, 4. Ἔλεγον ὅτι εἰ βλαβερὰ πεπραχὼς εἴη, δίκαιος εἴη ζημιοῦσθαι. Ξε. Ἑλ. 5, 2, 32. Τῆς ἐπιμελείας ἔφησθα ὄφελος οὐδὲν γίγνεσθαι, εἰ μή τις ἐπίσταιτο ἃ δεῖ καὶ ὡς δεῖ ποιεῖν. Ξε. Ἱέρ. 15, 2. Οἱ προεστῶτες ἐλογίζοντο ὡς εἰ μὴ μάχοιντο, ἀποστήσοιντο αἱ περιοικίδες αὐτῶν πόλεις. Ξε. Ἑλ. 6, 4, 6. Εἴ τις πόλις ἐπὶ πόλιν στρατεύσοι, ἐπὶ ταύτην ἔφη πρῶτον ἰέναι. Ξε. Ἑλ. 5, 4, 27. Γιγνώσκειν ἔφασαν φθονοῦντας αὐτούς, εἴ τι σφίσιν ἀγαθὸν γίγνοιτο, ἐφηδομένους δ', εἴ τις συμφορὰ προςπίπτοι. Ξε. Ἑλ. 5, 2, 2. — Προεῖπον ἡμῖν ὅτι εἰ μὴ παρεσόμεθα συστρατευσόμενοι, ἐκεῖνοι ἐφ' ἡμᾶς ἴοιεν. Ξε. Ἑλ. 5, 2, 13. Εἶπε στρατηγοὺς ἑλέσθαι ἄλλους, εἰ μὴ βούλεται Κλέαρχος ἀπάγειν. Ξε. ἀν. 1, 3, 14.

6. Die relativen Sätze sind entweder Neben-, Bestimmungs- oder Bedingungssätze. S. § 54, 13, 1.

A. 1. Die relativen Nebensätze sind als selbständige Sätze zu betrachten und es erscheinen daher in ihnen auch die verschiedenen Modalitäten dieser, am gewöhnlichsten der Indicativ (meist ohne ἄν) oder der Optativ mit ἄν. Vgl. § 54, 13, 2. Παρῆν ὁ Μηδοσάδης τῷ Σεύθῃ, ὅσπερ ἐπρέσβευεν αὐτῷ πάντοσε. Ξε. ἀν. 7, 2, 23. Ἐάν ποτε συμβῇ τι πταῖσμα, ἃ πολλὰ γένοιτ' ἂν ἀνθρώπῳ, ἥξει πάντα πρὸς ὑμᾶς. Δη. 8, 41. (Ἀνάγκη δούλῳ πληγαὶ καὶ ὁ τοῦ σώματος αἰκισμός, ἃ μήτε γένοιτ' οὔτε λέγειν ἄξιον. Δη. 8, 51.) Ueber den Infinitiv bei Relativen § 55, 4, 9.

A. 2. Eben so findet sich in relativen Bestimmungssätzen gewöhnlich der bloße Indicativ oder der Optativ mit ἄν. Πάντες ἃ ἐπίστανται ῥᾷστά τε καὶ τάχιστα καὶ κάλλιστα καὶ ἥδιστα ἐργάζονται. Ξε. ἀπ. 2, 7, 10. Ἡγοῦμαι τοιαύτην τέχνην ἥτις τοῖς κακῶς πεφυκόσι πρὸς ἀρετὴν ἐνεργάσαιτ' ἂν καὶ δικαιοσύνην οὔτε πρότερον οὔτε νῦν οὐδεμίαν εἶναι. Ἰσ. 15, 274. Οἱ ποιηταὶ τοιούτους λόγους περὶ τῶν θεῶν εἰρήκασιν οἵους οὐδεὶς ἂν περὶ τῶν ἐχθρῶν εἰπεῖν τολμήσειεν. Ἰσ. 11, 38. — Οὓς ἐδυνήθησαν συνειλήφασιν. Ξε. ἀν. 3, 1, 35. Ἣν ἄν τις ἐλευθέρων ἀνθρώπων ἀνάγκην εἴποι, ἤδη πάρεστιν. Δη. 8, 51. Μετρίων καὶ ὧν ἐν εἰρήνῃ τις καὶ πολιτείᾳ δύναιτ' ἂν ἐφικέσθαι, εὐνοίας, δικαιοσύνης, ἐπιμελείας, τῶν τοιούτων, καὶ συμφέρειν ἔμοιγε δοκεῖ καὶ χρῆναι διδόναι τὰς τιμάς. Δη. 20, 122. Ueber die Formel ποιοῦσιν ἃ ποιοῦσιν, εἶπεν ἃ εἶπεν u. ä. vgl. Kr. krit. Anal. 1 S. 161 u. z. Her. 2, 49, 1. So ἔχειν ἃ ἔχομεν vom status quo z. Th. 1, 140, 3. Ueber relative Sätze zwischen dem Artikel und seinem Nomen § 50, 8, 20.

A. 3. Ueber den wünschenden Optativ § 54, 14, 1; über den Optativ mit und ohne ἄν nach (präsentischen) Zeitformen die eine bloße Idee ausdrücken eb. A. 3 u. 4.

A. 4. In der obliquen Rede erscheint der Optativ ohne ἄν nach Relativen nicht leicht anders als wenn ein historisches Tempus vorhergeht. Daneben findet sich auch in diesem Falle (seltener bei Neben- als bei Bestimmungssätzen) der Indicativ; nothwendig in Sätzen der § 54, 14, 2 erwähnten Art; durch Assimilation der Indicativ eines historischen Tempus nach § 54, 10, 6. Ueber den Infinitiv § 55, 4, 9. Εἶπεν ὅτι ἄνδρα ἄγοι ὃν εἶρξαι δέοι. Ξε. Ἑλ. 5, 4, 8. Παρήγγειλεν ὁ Τηρίβαζος παρεῖναι τοὺς βουλομένους ὑπακοῦσαι ἣν βασιλεὺς εἰρήνην καταπέμποι. Ξε. Ἑλ. 5, 1, 30. Εὔξαντο σωτήρια θύσειν ἔνθα πρῶτον εἰς φιλίαν γῆν ἀφίκοιντο. Ξε. ἀν. 5, 1, 1. — Ἔλεγον ὅτι ἄκρα τίς ἐστιν ἔνδον καὶ πολέμιοι πολλοί, οἳ παίουσιν ἐκδεδραμηκότες τοὺς ἔνδον ἀνθρώπους. Ξε. ἀν. 5, 2, 17. — Προςκαλῶν τοὺς φίλους ἐσπουδαιολογεῖτο ὡς δηλοίη οὓς τιμᾷ. Ξε. ἀν. 1, 9, 28.

A. 5. Eben so findet sich nach einem historischen Tempus der Optativ, wenn der Gedanke als Vorstellung des Subjects des Hauptsatzes ausgesprochen

ist; deßgleichen in iterativer Bedeutung. Οὔποτε ἐπαυόμην ἡμᾶς οἰκτείρων, διαθεώμενος αὐτῶν ὅσην χώραν καὶ οἵαν ἔχοιεν. Ξε. ἀν. 3, 1, 19. — Ὅπου δειπνοποιοῖτο καὶ καθεύδοι, πῦρ νύκτωρ οὐκ ἔκαιεν. Ξε. Ἑλ. 6, 2, 29. Ὅντινα ἴδοιμι καλόν, τούτῳ προςῄειν. Ξε. οἰκ. 6, 15.

A 6. Ueber den Indicativ mit ἄν § 54, 14, 2.

A. 7. Ueber das hypothetische Relativ § 54, 15, 1—4; die Bedeutung der Conjunctive und Optative des Aorists § 53, 6, 5.

A. 8. Ueber das synonyme Particip § 56, 11 A.

A. 9. Neben dem Conjunctiv und Optativ erscheint auch der Indicativ hypothetisch, mehr jedoch mit der Idee des Positiven. Gemischte Beispiele verschiedener Arten relativer Sätze zur Prüfung. Vgl. auch § 54, 14, 4. Δίκαια δοκεῖ λέγειν Πρωταγόρας ἀξιῶν αὐτῷ τε ἐξεῖναι διαλέγεσθαι ὅπως βούλεται καὶ σοὶ ὅπως ἂν αὖ σὺ βούλῃ. Πλ. Πρω. 336. Λακεδαιμόνιοι ἱκανοί εἰσι καὶ εἷς ἕκαστος ἐν ταῖς πόλεσιν ὅ, τι βούλονται διαπράττεσθαι. Ξε. ἀν. 6, 4, 12. Ἔδωκεν ἡ στρατιὰ οὕςτινας βούλοιτο προελόμενον ἰέναι. Ξε. Ξν. 6, 4, 19. Εἴ τις ὑμῶν γυναῖκα ἔχει, θαῤῥῶν διδασκέτω ὅ, τι βούλοιτ' ἂν αὐτῇ ἐπισταμένῃ χρῆσθαι. Ξε. συ. 2, 9. Ἐπορευόμεθα διὰ ταύτης τῆς χώρας ὅποι ἐβουλόμεθα, ἣν μὲν ἐθέλοιμεν πορθοῦντες, ἣν δ' ἐθέλοιμεν κατακαίοντες. Ξε. ἀν. 7, 7, 5. Οὗ μήτε διδάσκαλοι μήτε μαθηταὶ εἶεν, καλῶς ἂν αὐτὸ εἰκάζοντες εἰκάζοιμεν μὴ διδακτὸν εἶναι. Πλ. Μέν. 89. Οὐδὲν οὕτως ὁρῶ φαῦλον ἔργον ὁποῖον οὐκ ἀρκοῦσαν ἂν τροφὴν ἐμοὶ παρέχοι. Ξε. συ. 4, 40. Στρατεύοιτο πότερος ἂν ῥᾷον, ὁ δυνάμενος ἄνευ πολυτελοῦς διαίτης ζῆν ἢ ᾧ τὸ παρὸν ἀρκοίη; Ξε. ἀπ. 1, 6, 9. Οὐκ ἦν ὅ, τι ἂν ἐποιεῖτε μόνοι. Δη. 18, 43. Οὐδεὶς ἀφῖκται χρόνου συχνοῦ ἐκεῖθεν ὅστις ἂν ἡμῖν σαφές τι ἀγγεῖλαι οἷός τ' ἦν (ᾖ) περὶ τούτων. Πλ. Φαίδ. 57. Χρὴ ὅσ' ἂν θεοὶ διδῶσι, φεύγειν μηδὲν ὦ τέκνον ποτέ. Σο. ἀποσ. 249. Σαθρόν, ὡς ἔοικεν, ἔστι φύσει πᾶν ὃ ἂν μὴ δικαίως ᾖ πεπραγμένον. Δη. 18, 227. Ὠφέλιμα εὑρίσκετο πάντα ὁπόσοις τις ἐπίσταιτο χρῆσθαι. Ξε. οἰκ. 6, 4.

(A. 10. Ueber das hypothetische Relativ ohne ἄν mit dem Conjunctiv § 54, 15, 3; dasselbe mit ἄν und dem Optativ eb. A. 4.)

A. 11. Ueber das finale und qualitative Relativ mit dem Indicativ des Futurs § 53, 7, 7 u. 8; das synonyme Particip eb. A. 9 u. § 56, 12, 1. vgl. eb. 10 A. 1. Ueber die Einschiebung eines relativen Satzes nach dem Artikel § 50, 8, 20, über den Infinitiv beim Relativ 55, 4, 9.

A. 12. Ueber die Assimilation der Relative § 51, 10 mit den A.; die Stellung eb. 11 vgl. 5 A. 1; die Anfügung des Nomens an das Relativ eb. 12; die Substantivirung des relativen Satzes für alle Casus eb. 13 mit den A. vgl. 50, 8, 21. Das relative Adverbium involvirt ein demonstratives eb. A. 9. Verbindung mehrerer Relative eb. 14 mit den A.

A. 13. Incongruenz des Relativs (ὅς, ὅστις auf ein eigenschaftliches Substantiv bezogen) § 51, 13, 11; Relative ohne einen da stehenden Begriff auf den sie sich beziehen § 51, 13, 12 u. 14; Ergänzung eines kurzen Satzes eb. A. 13; Ergänzung des Verbums zum Relativ § 51, 13, 15 vgl. § 62, 1, 4; deßgleichen bei ὅστις δή, ὁστιςοῦν ꝛc. § 51, 15, 1—4.

A. 14. Ueber die Ergänzung eines Zwischengedankens, wie: so wisse, bei einem relativen Satze zu Xe. An. 5, 5, 20 vgl. § 51, 13, 13.

7. Auch die temporalen Sätze sind entweder Neben-, Bestimmungs- oder Bedingungssätze.

A. 1. Ueber die temporalen Conjunctionen § 54, 16, 1 u. 6. Selten erscheinen vor ihnen correlate Demonstrative. am häufigsten πρότερον vor πρίν und τότε vor ὅτε, ὅταν. [zu Xe. An. 3, 1, 16.]

(A. 2. Temporale Nebensätze, die sich selten finden, sind als selbständige zu betrachten. Ὀλίγον πρόσθεν, ὅτε ἐγὼ ἔφη πλουτεῖν, ἐγέλασας

ἐπ' ἐμοί. Ξε. οἰκ. 2, 9. Φίλιππος φυλάξας τοὺς ἐτησίας ἐπιχειρεῖ, ἡνίκ' ἂν ἡμεῖς μὴ (οὐ?) δυναίμεθα ἐκεῖσε ἀφικέσθαι. Δη. 4, 31. Ein Beispiel des Infinitivs in obliquer Rede § 55, 4, 9.)

A. 3. In temporalen Bestimmungssätzen erscheint von einer individuellen, objectiv vorgestellten Thatsache die einer bestimmten Zeit angehört der Indicativ nach § 54, 16 vgl. eb. A. 1; der Indicativ eines historischen Tempus durch Assimilation nach § 54, 10, 6; von bloß Gedachtem der Conjunctiv meist in Verbindung mit ἄν (das mit ὅτε, ὁπότε, ἐπεί und ἐπειδή verschmilzt: ὅταν, ὁπόταν, ἐπήν oder ἐπάν, ἐπειδάν) wenn ein Präsens oder Futur, der Optativ ohne ἄν, wenn ein historisches Tempus oder ein Optativ mit ἄν im Hauptsatze steht vgl. § 54, 17, 1 u. 2; eben so in obliquer Rede, jedoch nicht nothwendig vgl. eb. A. 4. Ἐπειδὰν ἅπαντα ἀκούσητε, κρίνατε, μὴ πρότερον προλαμβάνετε. Δη. 4, 14. — Ἦν σύνθημα, ἐπεὶ καθίζοιντο, παίειν εὐθύς. Ξε. Ἑλ. 5, 4, 6. Σωκράτης γεωμετρίαν μέχρι τούτου ἔφη δεῖν μανθάνειν ἕως ἱκανός τις γένοιτο γῆν μέτρῳ ὀρθῶς διανεῖμαι. Ξε. ἀπ. 4, 7, 2. Πορεύεσθαι ἐκέλευσεν ἡσύχως ἕως ἄγγελος ἔλθοι. Ξε. Κυ. 5, 3, 53. (Ἐκέλευε προκαταλαβεῖν τὸ ἄκρον, ἕως [ἂν] αὐτὸς ἔλθοι. Ξε. Ἑλ. 5, 4, 47. Vgl. § 54, 11, 2.)

A. 4. Unser sobald als drückt der Grieche gew. aus durch ἐπεί oder ἐπειδὴ τάχιστα oder πρῶτον. Οἱ τριάκοντα ᾑρέθησαν, ἐπεὶ τάχιστα τὰ τείχη καθῃρέθη. Ξε. Ἑλ. 2, 3, 11. (Ἐμοὶ δοκεῖ, ἐπὰν τάχιστα ἀριστήσωμεν, ὡς τάχιστα ἰέναι ἐπὶ τοὺς ἄνδρας. Ξε. ἀν. 4, 6, 9.) Ἐπειδὴ τάχιστα ἐδοκιμάσθην, ἐπεξῆλθον τοῖς τριάκοντα ἐν Ἀρείῳ πάγῳ. Λυ. 10, 31. Ὡς τάχιστα ἕως ὑπέφαινεν, ἐθύοντο. Ξε. ἀν. 4, 3, 9. (Ἐπειδὰν θᾶττον συνιῇ τις τὰ λεγόμενα, καὶ τροφὸς καὶ μήτηρ καὶ παιδαγωγὸς καὶ αὐτὸς ὁ πατὴρ περὶ τούτου διαμάχονται ὅπως ὡς βέλτιστος ἔσται ὁ παῖς. Πλ. Πρω. 325. Ἢν τὰ τῶν θεῶν ἡμῖν θᾶττον συγκαταινῇ, ἐξίωμεν ὡς τάχιστα. Ξε. Κυ. 3, 3, 20. Νόμον φαμὲν θήσειν, ὅταν πρῶτον γένωνται νομοθέται. Δη. 20, 137.)

A. 5. Eben so haben hypothetische temporale Sätze nach § 54, 17, 1 vgl. A. 3 den Conjunctiv, meist in Verbindung mit ἄν, wenn ein Präsens oder Futur; den Optativ ohne ἄν, wenn ein historisches Tempus, wie auch wenn ein Optativ oder Infinitiv im Hauptsatze steht. Vgl. eb. A. 2. Als Vergangenes vorgestellt bezeichnet ein hypothetischer temporaler Satz mehrfach Vorgekommenes (iterativ), welche Bedeutung wir theils dadurch daß wir ὅτε, ὁπότε, ἐπεί durch so oft (als) übersetzen, theils gar nicht genauer ausdrücken. S. die Beispiele § 54, 17, 1. Dagegen bezeichnet die Construction mit dem Conjunctiv auch für die Zukunft Gültiges, also allgemeine Wahrheiten.

A. 6. In Bezug auf den Conjunctiv und Optativ des Aorists beachte man sorgfältig das § 53, 6, 5 Bemerkte (welches auch auf temporale Bestimmungssätze anzuwenden ist), um nicht gelegentlich ganz falsch zu übersetzen. So heißt ἕως ἄν, ἔστ' ἂν ἄρχωσι so lange sie beherrschen, ἕως ἄν, ἔστ' ἂν ἄρξωσι bis sie zur Herrschaft gelangt sind. Denn auch das Eintreten der Handlung (§ 53, 5, 1 u. 2) kann der Aorist hier wie in jeder Art hypothetischer Sätze bezeichnen. So ist auch z. B. ἐάν, ὅταν νομίσῃ, διανοηθῇ zu übersetzen: wenn er die Ansicht gefaßt hat. Ἐν νηὶ δεῖ διαπονεῖσθαι, ἕως ἂν εἰς οὖρον καταστῶσιν. Ξε. Ἑλ. 2, 3, 31. (Αἱ ἐπιθυμίαι αἰκιζόμεναι τὰ σώματα τῶν ἀνθρώπων καὶ τὰς ψυχὰς καὶ τοὺς οἴκους οὔποτε λήγουσιν, ἔστ' ἂν ἄρχωσιν (ἐπειδὰν ἄρξωσιν) αὐτῶν. Ξε. οἰκ. 1, 23.) Χρὴ ὅταν μὲν τιθῆσθε τοὺς νόμους ὁποῖοί τινές εἰσι σκοπεῖν· ἐπειδὰν δὲ θῆσθε, φυλάττειν καὶ χρῆσθαι. Δη. 21, 34. [vgl. Aisch. 1, 6.] Ὅταν ἕκαστος διανοηθῇ ὡς ἄλλος ἔσται ὁ πράσσων καὶ μαχόμενος, τούτοις εὖ ἴστε ὅτι πᾶσιν ἅμα πάντα ἥκει τὰ χαλεπὰ φερόμενα. Ξε. Κυ. 2, 3, 3.

A. 7. Ueber die Vertretung temporaler Sätze mit ὅτε, ὁπότε, ἐπεί durch das Particip § 56, 10, 1.

(A. 8. Wenn auf einen temporalen (Bestimmungs-) Satz ein allgemeiner Gedanke oder eine Beschreibung folgt, so fehlt ein Zwischengedanke, wie: so geschah was — oder: so fand sich ein Ort der —, so wisse daß — [Her. 7, 102, 1.] Ἐπειδὴ ἐδιώκομεν, ἀληθῆ ὑμεῖς λέγετε. Ξε. ἀν. 3, 3, 12. Ἐπεὶ ἐρῆμον χῶρον εἰςεβάλλομεν, ἀκτή τίς ἐστιν. Εὐ. Ἰπ. 1198.)

8. Caussale Sätze, welche einen Grund des Hauptsatzes angeben, werden eingeführt durch *ὅτι* und *διότι* weil, seltener *ὡς* und *ἐπεί* da, mit dem Indicativ (oder mit *ἄν* und dem Optativ); in obliquer Rede nach einem historischen Tempus mit dem Optativ oder Indicativ. *Τριήρης ἡ σεσαγμένη ἀνθρώπων διὰ τί ἄλλο φοβερόν ἐστι πολεμίοις ἢ φίλοις ἀξιοθέατον ἢ ὅτι ταχὺ πλεῖ; διὰ τί δὲ ἄλλο ἄλυποι ἀλλήλοις εἰσὶν οἱ ἐμπλέοντες ἢ διότι ἐν τάξει κάθηνται; Ξε. οἰκ.* 8, 8. *Ἦ καὶ βασιλεύειν ἐπίστασαι, ὅτι οἶσθα ἐπαινέσαντα Ὅμηρον τὸν Ἀγαμέμνονα, ὡς βασιλεὺς εἴη ἀγαθός; Ξε. συ.* 4, 6. *Πρὸς ταῦτα κρύπτε μηδέν, ὡς ὁ πάνθ' ὁρῶν καὶ πάντ' ἀκούων πάντ' ἀναπτύσσει χρόνος. Σο. ἀποσ.* 284. *Δεῖ μὴ μόνον κεκτῆσθαι τὰ ἀγαθά, ἀλλὰ καὶ χρῆσθαι αὐτοῖς, ὡς οὐδὲν ὄφελος τῆς κτήσεως γίγνεται. Πλ. Εὐθύδ.* 280. *Μέγα τὸ ὁμοῦ τραφῆναι, ἐπεὶ καὶ τοῖς θηρίοις πόθος τις ἐγγίγνεται τῶν συντρόφων. Ξε. ἀπ.* 2, 3, 4.

A. 1. Ὅτι ist rein objectiv, ὡς eig. subjectiv, etwas als bloß Scheinendes, Vorgestelltes bezeichnend, daher auch oft unser als ob, wie beim Particip, das zuweilen bei ὡς neben dem Indicativ oder Optativ erscheint. Ὃ ἐζήλωσας ἡμᾶς (τοὺς τυράννους), ὡς τοὺς μὲν φίλους μάλιστα εὖ ποιεῖν δυνάμεθα, τοὺς δ' ἐχθροὺς μάλιστα χειρούμεθα, οὐδὲ τοῦθ' οὕτως ἔχει. Ξε. Ἱέρ. 6, 12. — Ὡς στρατηγήσοντα ἐμὲ μηδεὶς λεγέτω, ὡς δὲ τῷ ἀνδρὶ ὃν ἂν ἕλησθε πείσομαι. Ξε. ἀν. 1, 3, 15. Οὐκ ἠβούλοντο τοῖς μετὰ Θρασύλου συντάττεσθαι, ὡς αὐτοὶ μὲν ὄντες ἀήττητοι, ἐκεῖνοι δὲ ἡττημένοι ἥκοιεν. Ξε. Ἑλ. 1, 2, 15. [Vgl. Xe. Mem. 4, 2, 30, Hell. 6, 3, 20, Soph. Oid. K. 861; über ὡς sei überzeugt daß mit dem Indicativ Elmsley zu Eur. Med. 596.]

A. 2. Ueber ὅτε, ὁπότε, ἐπεί, ἐπειδή weil § 54, 16, 3.

A. 3. Ueber caussale Sätze durch Participia mit oder ohne ἅτε oder ὡς ausgedrückt § 56, 12, 1 u. 2.

III. Nachsatz. Parataktik. Oblique Verhältnisse.

9. Der Nachsatz wird im Griechischen nicht (wie im Deutschen durch so) durch ein eigenes Wort markirt. Wo er anfängt ergiebt sich theils aus dem Zusammenhange, theils daraus daß er gern mit einem betonten Worte anhebt. Doch wird dem ersten Worte, namentlich nach Zeitpartikeln, zuweilen auch, selbst wenn es wenig betont ist, noch ein *δή* eben beigefügt. *Ἐπεὶ καὶ ἐνταῦθα ἐχώρουν οἱ Ἕλληνες, λείπουσι δὴ καὶ τὸν λόφον οἱ ἱππεῖς. Ξε. ἀν.* 1, 10, 13.

A. 1. Oefter findet sich im Nachsatze nach Zeitpartikeln mit Hervorhebung, besonders gegensätzlich, ein der Conjunction desselben correlates Adverbium oder eine entsprechende Präposition mit dem erforderlichen Casus von τοῦτο, ähnlich wie bei den Participien § 56, 10, 3. Ἐπεὶ ἀποστρέφειν αὐτὸν ἐπειρῶντο ἐξ Ἰσθμοῦ, ἐνταῦθα οὐκέτι πείθεται. Ξε. ἀν. 2, 6, 3. Ἐπεὶ ὑπετέμνοντο αὐτόν, ἐνταῦθα δὴ βοηθεῖν ἐκέλευεν. Ξε. ἀν. 7, 1, 29. Ὅταν πλεῖστά τις ἔχῃ, τότε πλεῖστοι τούτῳ καὶ φθονοῦσι καὶ ἐπιβουλεύουσι καὶ πολέμιοι γίγνονται. Ξε. Κυ. 7, 5, 77. Ἐπειδὴ ἐγίγνωσκεν ἀποθανούμενος, ἐνταῦθ' ἤδη τῇ ἀληθείᾳ ἐχρῆτο. Ἀντ. 5, 33. (Ἐπειδὴ ἐς τὸν Φλιοῦντα ἐχώ-

ρουν, τότε δὴ ἐξεστράτευσαν καὶ αὐτοί. Θ. 5, 58, 1. Φημὶ δεῖν, ἐὰν μὴ ἐθέλωσι ποιεῖν ταῦτα, τότ' ἤδη μετὰ τῶν ἐθελόντων ἡμᾶς γίγνεσθαι. Δη. 16, 27.) Ἐπειδὴ ἀπολέλαυκα τοῦ πράγματος καὶ πρεσβύτερος γέγονα, τηνικαῦτα ταπεινὴν ποιῶ τὴν φιλοσοφίαν. Ἰσ. 15, 195. Ἐπειδὰν κριθείς τις ἐξελεγχθῇ, τηνικαῦτα ἀδικήματα γίγνεται. Δη. 23, 26. Ἐπειδὴ οὗτοι διεσκεδάσθησαν, οὕτω δὴ τραπόμενοι ἔφυγον. Θ. 3, 98, 1. Ἐπειδὴ τοὺς εὐσεβεῖς ἐξέβαλον, οὕτως ἤδη στρατείαν ἐποιήσαντο. Αἰ. 3, 129.

A. 3. Wie jedes Wort, so kann auch die Negation wiederholt den Begriff bloß erneuern. So besonders bei Betheuerungen. Οὐ μὰ Δι', οὐ Φαῖδρας ἐποίουν. Ἀρ. βά. 1043. Θεοῖς τέθνηκεν οὗτος, οὐ κείνοισιν, οὔ. Σο. Αἴ. 970. Οὐ μέτεστι τῶν ἴσων οὐδὲ τῶν ὁμοίων πρὸς τοὺς πλουσίους τοῖς πολλοῖς ἡμῶν, οὐ μέτεστιν, οὔ. Δη. 21, 112. [Elmsley zu So. Ai. 970.] — Οὐχ ὥσπερ γε τὰς ἄλλας τέχνας κατατριβῆναι δεῖ μανθάνοντας, πρὶν ἄξια τῆς τροφῆς ἐργάζεσθαι τὸν διδασκόμενον, οὐχ οὕτω καὶ ἡ γεωργία δύσκολός ἐστι μαθεῖν. Ξε. οἰκ. 15, 10. Δέδοικα μή, ἂν ἅπαξ μάθωμεν ἀργοὶ ζῆν —, μὴ ἐπιλάθωμεν τῆς οἴκαδε ὁδοῦ. Ξε. ἀν. 3, 2, 25.

A. 4. Ueber das betheuernde οὐ μή § 53, 7, 6 vgl. Elmsley z. (Eu. Hik. 1066 u.) So. OT. 870; über das fragende § 53, 7, 5 vgl. Elmsley z. Med. 1120. So steht es auch verbietend, ein aus der Frage hervorgegangener Gebrauch. Vgl. Pflugk zu Eur. Andr. 758. Nach Elmsley zu Soph. Oid. K. 177 ist οὐ μὴ γράψεις = μὴ γράφε oder μὴ γράψῃς, οὐ μὴ γράψῃς = οὐ γράψεις. Οὐ μὴ προδώσεις θυμὲ σαυτὸν ἐν κακοῖς. Νεοφ. 20, 34. Τοὺς πονηροὺς οὐ μή ποτε βελτίους ποιήσετε. Αἰ. 3, 177. Οὐ μὴ εἰςίῃς. Ἰσαῖ. 8, 24. Οὐ μὴ κακισθεὶς εἰς ἀνανδρίαν πέσῃς. Εὐ. Ἠλ. 982.

12. *Οὔ* und *μή* werden jedes mit einem oder mehreren seiner Ableitungen, ihnen vorangehend, so verbunden daß die Composita den Begriff der einfachen Negation bloß in Bezug auf den sonst noch in ihnen enthaltenen Begriff erneuern und urgiren. So sagte man in der Regel z. B. *οὐκ ἔστιν οὐδὲν* statt *οὐκ ἔστι τι* ꝛc. *Σώφρονος ἀπιστίας οὐκ ἔστιν οὐδὲν χρησιμώτερον βροτοῖς. Εὐ. Ἑλ.* 1618. *Οὐκ ἔστιν οὔτε τεῖχος οὔτε χρήματα οὔτ' ἄλλο δυςφύλακτον οὐδὲν ὡς γυνή. Εὐ. Δα.* 13. *Οὐκ ἔστιν ἐν τοῖς μὴ καλοῖς βουλεύμασιν οὐδ' ἐλπίς. Σο. Τρ.* 725.

A. 1. So stehen auch ohne οὔ oder μή mehrere Ableitungen des einen oder des andern einfach verneinend. Οὐδαμοῦ δίκαιον οὐδένα ἡμῖν ἐφάνη ὂν βλάπτειν. Πλ. πολ. 335. Σμικρὰ φύσις οὐδὲν μέγα οὐδέποτε οὐδένα οὔτε ἰδιώτην οὔτε πόλιν δρᾷ. Πλ. πολ. 495. Θεοὺς φοβούμενοι μήποτ' ἀσεβὲς μηδὲν μηδὲ ἀνόσιον μήτε ποιήσητε μήτε βουλεύσητε. Ξε. Κυ. 8, 7, 22.

A. 2. Aehnlich kann auch nach einem verneinenden Verbum die Negation erneuernd und urgirend eintreten. So übersetzen wir ἀντιλέγω ὅτι οὐκ ἔστιν ich bestreite, läugne daß es ist. Ὅτι ἀρετὴ οὐκ ἔστιν ἐπιστήμη, σκέψαι ἐάν σοι δοκῶ εἰκότως ἀπιστεῖν. Πλ. Μέ. 89. Ἀντέλεγεν ὅτι οὐκ ἐγχωροίη. Ξε. Ἑλ. 2, 3, 16. Οὔτοι τούς γε θεωμένους τάδε ἀντιλέξειν οἴομαι ὡς οὐχὶ καὶ ἡ ἀνδρεία διδακτόν. Ξε. συ. 2, 12. [zu Xe. Ap. 2, 5, 29.] Οὐ τοῦτο ἀμφισβητῶ ὡς οὐχ ὅταν τὸ αὐτὸ γιγνώσκόν τις ἔχῃ, αὐτὸς αὐτὸν γνώσεται. Πλ. Χαρ. 169. Ἐξελεγκτέος οὗτος ὁ λόγος ἡμῖν ἐστιν ὡς οὐ δικαιοσύνης καὶ σωφροσύνης κτήσει εὐδαίμονες οἱ εὐδαίμονες. Πλ. Γο. 508. Θαυμαστὸν τὸ διαμάχεσθαι περὶ τούτου καὶ μὴ ἂν δύνασθαι ἀρνηθῆναι ὡς οὐκ ἀπέδωκα. Λυ. 4, 1.

A. 3. So wird nach Begriffen die eine Verneinung enthalten, wie mißtrauen, läugnen, verbieten, verhindern, sich hüten, dem Infinitiv gew. μή beigefügt. [Reg. z. Th. u. μή] Ἠπίστουν μὴ εἶναι τοὺς τὰ ὅπλα παραδόντας τοῖς τεθνεῶσιν ὁμοίους. Θ. 4. 40, 2. — Ἠρνοῦντο μὴ πεπτωκέναι. Ἀρ. ἱπ. 572. Πῶς ἂν τολμῷμεν ἔξαρνοι εἶναι τὸ καλὸν μὴ καλὸν εἶναι; Πλ. Ἱπ. 288. Ὁ νόμος ἀπαγορεύει (εἴργει) μήτε δικαίως μήτε ἀδίκως ἀποκτεῖναι. Ἀντ. 3, γ, 7, 4, β, 3. Οἱ νομοθέται τὸ καλὸν τὸ ἐκ τῶν γυμνασίων κατιδόντες ἀπεῖπον τοῖς δούλοις μὴ μετέχειν. Αἰ. 1, 138. — Ὁ φόβος τὸν νοῦν ἀπείργει μὴ λέγειν ἃ βούλεται. Εὐ. Ἀλκμή. 14. Νόμων γραφαὶ εἴργουσι χρῆσθαι μὴ κατὰ γνώμην τρόποις. Εὐ. Ἑκ. 867. Κωλυόμεθα μὴ μαθεῖν ἃ βούλομαι. Εὐ. Ἴων 392. — Παρὸν σεσῶσθαι φευξόμεθα μὴ θανεῖν. Εὐ. Ἡρ· 507. Χρὴ πάντως εὐλαβεῖσθαι γείτονα γείτονι μηδὲν ποιεῖν διάφορον. Πλ. νό. 843. Ἐφυλάξατο μηδένα [μὴ] βαλεῖν. Ἀντ. 3, δ, 7. Δέδοικε μηδὲν ἐξαμαρτάνειν. Εὐ. Ἀντιγ. 8.

Ῥᾷον ἐτόλμα τις ἃ πρότερον ἀπεκρύπτετο μὴ καθ' ἡδονὴν δρᾶν. Θ. 2, 53, 1. Ὁ πατὴρ ἀπεύξαιτ' ἂν τοῖς θεοῖς μηδαμῶς κατὰ τὰς τοῦ υἱέος εὐχὰς γίγνεσθαι. Πλ. νό. 687. Ἐμοῦ οἱ νόμοι ἀπεγνωκότες εἰσὶ μὴ ἀδικεῖν. Λυ. 1, 34. Παυσανίας κριθεὶς ἀπελύθη μὴ ἀδικεῖν. Θ. 1, 128, 2. Ἀφείμεθα μηδὲν ἂν πλημμελεῖν. Πλ. νό. 635. Ἀπέσχοντο μὴ ἐπὶ τὴν ἑκατέρων γῆν στρατεῦσαι. Θ. 5, 25, 2.

A. 4. So findet sich μή auch in Verbindung mit ὥστε wie mit dem Artikel τό oder τοῦ. Ὥστε μὴ ὀλισθάνειν ἡ ὕλη σχήσει. Ξε. ἀν. 3, 5, 11. Τὰς ναῦς ἀπέστρεψεν ὥστε μὴ ἐλθεῖν. Θ. 8, 108, 1, — Κίμωνα παρὰ τρεῖς ἀφεῖσαν ψήφους τὸ μὴ θανάτῳ ζημιῶσαι. Δη. 23, 205. Εὖ πάνυ φυλάττουσι τὸ μηδὲν βέβαιον ἐᾶν εἶναι. Πλ. Θε. 180. (Παύσαντες τὴν φλόγα καὶ τὸ μὴ προσελθεῖν τὴν ὁλκάδα τοῦ κινδύνου ἀπηλλάγησαν. 7, 53, 4.) — Τούτους τοιαῦτα λέγων ἔσχε τοῦ μὴ ἐκπεπλῆχθαι. Ξε. Ἑλ.

4, 8, 5. Μία ἀπόκρισις ἀπολύεσθαι δοκεῖ τοῦ μὴ κακῶς ἔχειν, ἀλλ' ὀρθῶς. Πλ. νό. 637. (Οὐδείς πω τοῦ μὴ πλέον ἔχειν ἀπετράπετο. Θ. 1, 76, 3.) Διὰ τὸ μῖσος μικρὸν ἀπέλιπον τοῦ μὴ ταῖς ἐσχάταις συμφοραῖς περιπεσεῖν. Ἰσ. 15, 122. Ἡ διὰ βίου ἄπληστος ζήτησις ἐμπόδιος γίγνεται τοῦ μὴ καλῶς ἀσκεῖν τὰ περὶ τὸν πόλεμον ἑκάστους. Πλ. νό. 832. (Ἐν ἀσφαλεῖ εἰσι τοῦ μηδὲν παθεῖν. Ξε. Κυ. 3, 3, 31. Ἐνόμιζον οὐδεμίαν σωτηρίαν εἶναι τοῦ μὴ παθεῖν ἃ ἐποίησαν. Ξε. Ἑλ. 2, 2, 10.)

(A. 5. Hin und wieder findet sich nach solchen Verben auch der Infinitiv ohne μή. [z. Th. 1, 73, 3. vgl. 1, 31, 3. Philem. 92, 3.] Σχήσω σε πηδᾶν δυστυχῆ πηδήματα. Εὐ. Ὀρ. 263. Ὀκνήσουσιν οἱ ἄγγελοι μὴ ἀποδόξῃ ἡμῖν τὰς σπονδὰς ποιήσασθαι. Ξε. ἀν. 2, 3, 9. — Τό γε δυστυχέστατος εἶναι ἀνθρώπων οὐδαμῇ ἐκφεύγω. Ἀνδ. 2, 9.)

A. 6. Nach negativen Sätzen steht beim Infinitiv (auch mit τό oder ὥστε) statt μή in der Regel μὴ οὔ; eben so nach Fragen die einer Negation gleich sind und selbst nach negationsartigen Begriffen, wie ἄνοια, αἰσχρόν ἐστιν. [Hermann De ell. p. 224 s.] Auch hier erneuert das οὔ die vorhergehende Negation. Οὐχ ὅσιόν σοί ἐστι μὴ οὐ βοηθεῖν δικαιοσύνῃ εἰς δύναμιν παντὶ τρόπῳ. Πλ. πολ. 427. Οὐκ ἐγχωρεῖ τοῖς πλεονεκτεῖν βουλομένοις μὴ οὐκ ἐκποδὼν ποιεῖσθαι τοὺς ἱκανωτάτους διακωλύειν. Ξε. Ἑλ. 2, 3, 16. Ἀδύνατα ἦν μὴ οὐ μεγάλα βλάπτειν. Θ. 8, 60, 1. [vgl. Her. 3, 82, 2.] — Εἰ ἅμα ἐλεύθερός τ' εἴης καὶ πλούσιος γένοιο, τίνος ἂν δέοιο μὴ οὐχὶ πάμπαν εὐδαίμων εἶναι; Ξε. Ἑλ. 4, 1, 36. — Ἀνόητον ἡγοῦμαι εἶναί σοι μὴ οὐ καὶ τοῦτο χαρίζεσθαι. Πλ. συ. 218. Αἰσχρόν ἐστι σοφίαν καὶ ἐπιστήμην μὴ οὐχὶ πάντων κράτιστον φάναι εἶναι τῶν ἀνθρωπείων πραγμάτων. Πλ. Πρω. 352. — Πολλὴ ἄνοια τὸ μὴ οὐχ ἓν καὶ ταὐτὸν ἡγεῖσθαι τὸ ἐπὶ πᾶσι τοῖς σώμασι κάλλος. Πλ. συ. 210. Οὐδεὶς οὕτω παῖδας εὖ παιδεύσεται, ὥστ' ἐκ πονηρῶν μὴ οὐ κακοὺς πεφυκέναι. Εὐ. ἀποσπ. ἄδ. 38.

A. 7. Eben so steht beim Infinitiv nach Begriffen des Abhaltens und Widersprechens mit einer Negation μὴ οὔ quominus (für unsern Sprachgebrauch überflüssig). Οὐκ ἄν ποτ' ἔσχον μὴ οὐ τάδ' ἐξειπεῖν πατρί. Εὐ. Ἱπ. 658. Τὸ ἀγνοεῖν οὐκ ἐκφεύγει τῇ ἀληθείᾳ μὴ οὐκ ἐπονείδιστον εἶναι. Πλ. Φαῖδ. 277. Ὁ Ἀστυάγης ὅ, τι δέοιτο αὐτοῦ ὁ Κῦρος οὐδὲν ἐδύνατο ἀντέχειν μὴ οὐ χαρίζεσθαι. Ξε. Κυ. 1, 4, 2. — Μάχας οὐκ ἀρνοῦμαι μὴ οὐ συμβεβηκέναι μοι· περὶ δὲ τῶν ποιημάτων τὰ μὲν ὁμολογῶ τὰ δ' ἐξαρνοῦμαι μὴ τοῦτον ἔχειν τὸν τρόπον. Αἰ. 1, 136. Οὐδεὶς πώποτε ἀντεῖπε μὴ οὐ καλῶς ἔχειν τοὺς νόμους. Δη. 24, 24. — Τίνα οἴει ἀπαρνήσεσθαι μὴ οὐχὶ καὶ αὐτὸν ἐπίστασθαι τὰ δίκαια καὶ ἄλλους διδάξειν; Πλ. Γο. 461. — Τὸ μὴ οὐχ ἡδέα εἶναι τὰ ἡδέα λόγος οὐδεὶς ἀμφισβητεῖ. Πλ. Φιλ. 13.

[A. 8. Wie jedoch nach solchen Begriffen ohne Negation auch der Infinitiv ohne μή vorkommt nach A. 5, so können sie, wenn schon negirt, bloß μή nach sich haben. [Reisig comm. ad Soph. Oed. C. 350. Vgl. Eupolis 148, Thuk. 3, 39, 3, Xen. Hell. 5, 2, 1, Dem. 34, 3, Plat. Tim. 20 u. Ant. 3, β, 4 mit And. 3, 26, Her. 1, 209, 3.] Ἀδύνατον μὴ ὁμολογεῖν ταῦτα. Πλ. Φίλ. 50. (Ταῦτά τινες οὐκ ἐξαρνοῦνται πράττειν, ἀλλ' ὁμολογοῦσιν. Αἰ. 3, 250.) Εὐδαιμονία οὐ παρέχει ὄκνον μὴ ἐλθεῖν ἐς τὰ δεινά. Θ. 3, 39, 3. — Τίνα αἴσχιον μὴ φιλεῖν ἢ τὸν ἀδελφόν; Ξε. Κυ. 8, 7, 16.]

(A. 9. Auch bei Participien findet sich μὴ οὔ (nisi) nur nach negativen Sätzen Her. 2, 110. 6, 9, 1. 106, 2, Soph. Oid. T. [13.] 221. (Oid. K. 360?) Philem. 83, 5, Plat. Lys. 212, Isokr. 10, 47, Polyb. 16, 29, 6. 7. Vgl. Elmsley zu So. OT. 13. Οὐκ ἔστι φίλον τῷ φιλοῦντι οὐδὲν μὴ οὐκ ἀντιφιλοῦν. Πλ. Λύ. 212. Τιμῆς τυχεῖν οὐχ οἷόν τε μὴ οὐ [τὸν] πολὺ τῇ γνώμῃ διαφέροντα. Ἰσ. 10, 47. [Αἱ πόλεις χαλεπαὶ λαβεῖν μὴ οὐ πολιορκίᾳ. Δη. 19, 123.] Vgl. Hermann De ell. p. 223 s. u. 233 s.

A. 10. Ueber μὴ οὔ mit dem Conjunctiv § 54, 8, 9 u. 13, οὐ μή § 53, 7, 5.

13. Ohne zugefügten Begriff stehen die Negationen, wenn derselbe (gegensätzlich) aus dem Vorhergehenden zu ergänzen ist. Doch kann der Begriff auch, wie im Lateinischen (das Verbum) regelmäßig, wiederholt werden. *Τῶν καλῶν τῶν μὲν ἐρῶσι, τῶν δ' οὔ. Ξε. Κυ.* 5, 1, 9. *Οἷς οὕτω δέδοκται καὶ οἷς μή, τούτοις οὐκ ἔστι κοινὴ βουλή. Πλ. Κρίτ.* 49. *Ὁ μὲν συνοπτικὸς διαλεκτικός, ὁ δὲ μή, οὔ. Πλ. πολ.* 537. *Χωρὶς τό, τ' εἶναι καὶ τὸ μὴ νομίζεται. Εὐ. Ἀλκ.* 528. *Δεῖ τό, τε χρηστὸν καὶ τὸ μὴ σκοπεῖν. Πλ. πολ.* 537. *Φημὶ μέτρον ἕκαστον ἡμῶν εἶναι τῶν τε ὄντων καὶ μή. Πλ. νό.* 638. — *Τὰ μὲν ἀκούσια τῶν ἁμαρτημάτων ἔχει συγγνώμην, τὰ δὲ ἑκούσια οὐκ ἔχει. Ἀντ.* 5, 92.

A. 1. So ist auch in den Formeln οὔκ, ἀλλὰ — und οὔκ, εἴ, ἐάν zu οὔ das vorhergehende Verbum in der erforderlichen Form zu denken. Vgl. § 11, 11, 2; ferner bei τί οὔ und τί μή; Ἔξεστιν ὃν ἄν τις βούληται τρόπον τοὺς θεοὺς τιμᾶν; οὔκ, ἀλλὰ νόμοι εἰσίν. Ξε. ἀν. 4, 6, 2. Νῦν τοὺς ὑπάρχοντας πολίτας ἀπελῶμεν; οὔκ, ἄν ἔμοιγε πειθώμεθα. Λυ. 34, 4. — Οὐδὲν ἀποκωλύει πᾶν τε ὂν καὶ ὅλον ἓν εἶναι; Τί δ' οὔ; Πλ. σο. 245. Ἄρχοντές εἰσιν, ὥσθ' ὑπεικτέον. Τί μή; Σο. Αἴ. 668.

A. 2. Aehnlich findet sich μὴ γάρ. Ὅσα γ' ἐν τῷ παρόντι δυνατὸν ἑκὼν οὐκ ἀπολείψω. Μὴ γάρ (erg. ἀπολείψῃς). Πλ. πολ. 509.

14. Elliptisch erscheinen die Negationen besonders in bestimmten Formeln bei denen ein allgemeiner Begriff, wie sein, thun, sagen, hinzugedacht wurde.

A. 1. So fehlt ἔστιν bei οὐδεὶς ὅστις οὐ — vgl. § 51, 10, 11. Οὐδὲν ὅ, τι οὐ ξυνέβη. Θ. 3, 81, 4.

A. 2. So findet sich οὐ γὰρ ἀλλά, wobei man zu οὐ γάρ seltener das vorhergehende Verbum zu denken hat (vgl. 13 A. 1) als allgemein: denn nicht ist es so, gebührt es sich, synonym mit καὶ γάρ. Aehnlich erhielt οὐ μὴν ἀλλά die Bedeutung indessen. [Selten οὐ μέντοι ἀλλά. z. Th. 5, 43, 2.] Ueber οὐ μὴν οὐδέ ja, aber auch nicht z. Th. 1, 3, 4. Ὁρᾷς ὅτι οὐ κακῶς ἐλέγομεν ὡς ἄρα καὶ αὐτὰ τὰ τῆς φιλοσόφου φύσεως μέρη, ὅταν ἐν κακῇ τροφῇ γένηται, αἴτια τρόπον τινὰ τοῦ ἐκπεσεῖν ἐκ τοῦ ἐπιτηδεύματος; Οὐ γὰρ ἀλλ' ὀρθῶς ἐλέχθη. Πλ. πολ. 495. Μὴ σκῶπτέ μ' ὦδελφ' (ὦ ἄδελφε)· οὐ γὰρ ἀλλ' ἔχω κακῶς. Ἀρ. βά. 58. — Τούτων ἀληθῆ μέν ἐστι τὰ πολλά, οὐ μὴν ἀλλ' ἴσως οὐχ ἡδέα ἀκούειν. Δη. 4, 38. Ueber ἀλλὰ (—) γάρ § 69, 14, 4.

A. 3. Elliptisch stehen ferner οὐχ ὅτι [οὐχ ὅσον Thuk. 4, 62, 2] und οὐχ ὅπως statt οὐκ ἐρῶ ὅτι, ὅπως; und zwar heißt οὐχ ὅτι nicht nur, οὐχ ὅπως nicht nur nicht (non modo) vgl. § 69, 46, 1; (οὐχ ὅτι auch obgleich); μὴ ὅτι statt μὴ εἴπω, εἴπῃς ὅτι nicht nur nicht oder nachgestellt geschweige denn. Ὑπεραποθνῄσκειν μόνοι ἐθέλουσιν οἱ ἐρῶντες, οὐ (μόνον) ὅτι ἄνδρες, ἀλλὰ καὶ αἱ γυναῖκες. Πλ. συ. 179. (Σωκράτη γε ἐγὼ ἐγγυῶμαι μὴ ἐπιλήσεσθαι, οὐχ ὅτι παίζει καί φησιν ἐπιλήσμων εἶναι. Πλ. Πρω. 336.) — Οὐχ ὅπως τῆς κοινῆς ἐλευθερίας μετέχομεν, ἀλλ' οὐδὲ δουλείας μετρίας ἠξιώθημεν τυχεῖν. Ἰσ. 14, 5. Χρὴ τὸν μὴ τυχόντα γνώμης οὐχ ὅπως ζημιοῦν, ἀλλὰ μηδ' ἀτιμάζειν. Θ. 3, 42, 5. — (Ὁ μηχανοποιὸς οὔτε στρατηγοῦ, μὴ ὅτι κυβερνήτου, οὔτε ἄλλου οὐδενὸς ἐλάττω ἐνίοτε δύναται σώζειν. Πλ. Γο. 512.) Μὴ ὅτι θεός, ἀλλὰ καὶ ἄνθρωποι καλοὶ κἀγαθοὶ οὐ φιλοῦσι τοὺς ἀπιστοῦντας. Ξε. Κυ. 7, 2, 17.

A. 4. [5.] Nach Verneinungen wie οὐ (δῆτα), οὐδαμῶς § 64, 5, 4, ist bloß das vorhergehende Verbum in einer positiven, nach μὴ (δῆτα), μηδαμῶς ꝛc. in einer prohibitiven Form (ποίει, ποιήσῃς, ποιῶμεν ꝛc. vgl. § 54, 2, 2) zu ergänzen; eine Ellipse dagegen tritt ein bei οὔπω, μή μοι ꝛc. nach § 62, 3, 12.

A. 5. [4.] Μόνον οὐ tantum non heißt eig. bloß nicht, es fehlt weiter nichts als daß = beinahe, einen zu starken Ausdruck mildernd; ὅσον οὐ fast, mit Bezug auf die Zeit, auch mit ἤδη oder οὔπω verbunden. [z. Th. 1, 36, 2 u. zu Xe. An. 7, 2, 5 lat. A.] Οἱ σοφισταὶ μικροῦ κέρδους ὀρεγόμενοι μόνον οὐκ ἀθανάτους ὑπισχνοῦνται τοὺς συνόντας ποιήσειν. Ἰσ. 13, 4. Χρὴ ἐς τὸν μέλλοντα καὶ ὅσον οὐ παρόντα πόλεμον χωρίον προςλαβεῖν. Θ. 1, 36, 2. Ἐλέγετο ὅτι Ἰφικράτης ὅσον οὐκ ἤδη παρείη. Ξε. Ἑλ. 6, 2, 24. Οἱ ἄνδρες καὶ ἐπέρχονται καὶ ὅσον οὔπω πάρεισιν. Θ. 6, 34, 8.

§ 68. Präpositionen (προθέσεις).

I. Allgemeine Bemerkungen.

1. Die Präpositionen, eigentlich eine Art von Adverbien, ursprünglich des Ortes, erscheinen als solche am deutlichsten in der epischen Poesie.

2. Doch schon in der ionischen Prosa, noch mehr aber in der attischen finden sie sich gewöhnlich nur in fester Composition oder mit einem obliquen Casus verbunden.

A. 1. Die präpositionsartigen Adverbia (§ 66, 2, 2) unterscheiden sich von den Präpositionen dadurch daß sie auch selbständig (ohne Casus) stehen können und mit andern Wörtern nicht componirt werden. Nicht compositionsfähig sind auch einige den Ge. regierende Präpositionen, ἄνευ, ἕνεκα, ἄχρι, μέχρι, die man als uneigentliche Präpositionen betrachten kann. [Bei Spätern findet sich auch ἕως mit dem Ge.]

A. 2. Ohne Casus findet sich in der att. Prosa nur πρός außerdem in πρὸς δέ [z. Her. 1, 58 u. z. Th. 7, 70, 8), gew. mit folgendem καί auch, und καὶ πρός [τὲ πρός Aisch. Eum. 229, Eur. Or. 622. Bei Spätern finden sich auch, wie im Ionismos, ἐπὶ δέ, μετὰ δέ.] Ἐγὼ ἡγοῦμαι τοῦτον τὸν λόγον ἀσύμφορον εἶναι τῇ πόλει λέγεσθαι, πρὸς δὲ καὶ οὐ δίκαιον. Δη. 20, 112. Ἄθλιον ἔφην εἶναι τὸν ἀδίκως ἀποκτείναντα καὶ ἐλεεινόν γε πρός. Πλ. Γο. 469. [Heindorf zu Pl. Gorg. 55.]

A. 3. Ueber Tmesen § 42, 5, 1 u. 2.

3. Der Casus der Präpositionen ist ein Substantiv oder ein substantivirter Begriff, gewöhnlich ein declinables Wort.

A. 1. Ueber Präpositionen beim Infinitiv § 50, 6, 2 u. 3.

A. 2. Auch bei Adverbien stehen Präpositionen in der Regel nur in Verbindung mit dem Artikel vgl. § 50, 5, 1 u. 13; ohne ihn in den Fällen § 66, 1, 4.

4. In der Prosa stehen die Präpositionen in der Regel vor ihrem Casus.

A. 1. Häufig jedoch steht nach dem Casus ἕνεκα, nicht selten auch πέρι nach dem Ge., selbst durch eingeschobene Worte getrennt vgl. § 9, 11, 1; ἄνευ eben nur zuweilen nach dem Relativ. Λιμένας ἔχετε, ὧν ἄνευ οὐχ οἷόν τε ναυτικῇ δυνάμει χρῆσθαι. Ξε. Ἑλ. 7, 1, 3. [vgl. Dem. 23, 136, öfter bei Aristot. u. Spätern.]

A. 2. Wenig üblich ist in der attischen Prosa Einschiebung der Präposition zwischen Adjectiv und Substantiv, häufiger nur bei ἕνεκα; über πέρι § 9, 11, 1. Vereinzelt sind Fälle wie τοιᾷδε ἐν τάξει Plat. Krit. 115, πᾶσαν ἐς ἀρετήν Thuk. 7, 86, 4? ἀντίπαλον ἐς ἓν ὄνομα 1, 3, 4? οὐδενὶ ξὺν νῷ Plat. Krit. p. 48, μηδενὶ ξὺν νῷ Ar. Wolk. 580 vgl. Arr. An. 4, 8, 6. τινὰ πρὸς ἰσχύν Plat. Ges.

644, τινὰ πρὸς ἄλλον Thuk. 5, 37, 2 (vgl. τινὰ εἰς ἑτέραν Anon. Dik. 5, μηδὲν δι' ἕτερον Isokr. 12, 23), τρόπων ἐξ οἵων 2, 36, 3, ἡμέρας περὶ τεσσαρασκαίδεκα Thuk. 1, 117, 1 vgl. 54, 3. 6, 74, 2 u. Dial. Sy. § 6. Häufiger ist οὐδὲν (μηδὲν) δι' ἄλλο Lys. 16, 8. 30, 18, Isokr. 12, 216, Xen. St. d. Ath. 3, 1; daneben δι' οὐδὲν ἄλλο, wie Plat. Prot. 353, Dem. 5, 11, (οὐ) δι' ἄλλ' οὐδέν Isai. 5, 23. 11, 15 und οὐδὲ δι' ἓν ἄλλο Xen. Kyr. 2, 1, 21 und Plat. Phaid. 100. Ueber die Einschiebung der Präpositionen bei οὐδείς und οὐδέτερος, z. B. οὐδὲ καθ' ἕν, οὐδὲ μεθ' ἑτέρων, § 24, 2, 2.

5. Eingeschoben werden zwischen die Präposiiton und ihr Nomen in der Regel nur enge mit demselben verbundene Begriffe; außerdem jedoch auch postpositive Conjunctionen (§ 69, 3) besonders Sätze verbindende.

A. 1. So namentlich Adjective, Adverbia, Präpositionen (mit ihrem Casus) rc. § 50, 8, 1—21. Postpositive Conjunctionen haben auch bei hinzutretendem Artikel ihre Stelle gew. gleich nach der Präposition, wie ἐπ' οὖν τὸ λυσιτελοῦν αὐτοῖς ἕκαστοι χωροῦσιν. Δη. 2, 28. So stehen (μέν und) δέ beim Artikel. selbst wenn er Pronomen ist, vor demselben, wenn eine Präposition da ist nach § 50, 1, 14. Sehr selten sind in der Prosa Stellungen wie ἐπὶ τῷ δ' ἀφελέσθαι Dem. 20, 62, ἐν ταῖς δ' αὐταῖς ἡδοναῖς Plat. Ges. 816. [Ar. Wesp. 94, Lys. 593, Ekkl. 625, Men. b. Stob. 51, 27, Aisch. Ag. 1622, Eur. Med. 475, Andr. 336, Ion 742.]

A. 2. Eingeschoben findet sich auch οἶμαι (vermuthlich): ἐν οἶμαι πολλοῖς Dem. 20, 3 vgl. Plat. Rep. 564, a u. 568, c, παρὰ γὰρ οἶμαι τοὺς νόμους Plat. Pol. 300 und so bei ihm öfter, (wie ἴσως Dem. 22, 44, Polyb. 1, 56, 11 vgl. Plat. Gorg. 521), ὡς ἔπος εἰπεῖν Plat. Ges. 797. (Eben so beim Artikel οἱ μὲν (γὰρ) οἶμαι βέλτιστοι Dem. 19, 80. 54, 38, Plat. Ges. 722 vgl. Plat. Gorg. 483, c, wie ἡ γάρ που μίμησις ποίησίς τίς ἐστιν Soph. 265.)

A. 3. Ueber die Einschiebung der Ge. (auch von ὅς) § 47, 9, 19.

A. 4. Nach einem mit dem Artikel verbundenem Nomen, mag eine Präposition da sein oder nicht, stehen postpositive Conjunctionen, besonders μέν und δέ, wenn das Nomen stark hervorzuheben ist. Ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι, ἐν τῷ προθυμεῖσθαι δὲ καὶ τολμᾶν τίνα ὁρᾷς ἐνοῦσαν ζημίαν; δίδασκέ με. Αἰσ. Προ. 378. 81. Τοὺς κύνας τοὺς χαλεποὺς τὰς μὲν ἡμέρας διδέασι, τὰς δὲ νύκτας ἀφιᾶσι· τοῦτον δέ, ἢν σωφρονῆτε, τὴν νύκτα μὲν δήσετε, τὴν δὲ ἡμέραν ἀφήσετε. Ξε. ἀν. 5, 8, 24. [Ueber μετὰ ταῦτα z. Th. 1, 56.]

6. Ein Prädicat zu einem mit dem Artikel verbundenen Nomen gehörig tritt, wenn es voranzustellen ist, zwischen die Präposition und den Artikel. Beispiele § 50, 11, 2 u. 3, § 57, 3, 4.

A. Dieselbe Stellung ist auch üblich, wenn das Prädicat vorangestellt zu einem persönlichen Pronomen gehört. [z. Th. 1, 73, 1. 3, 53, 1.] Ἐπὶ πρῶτον ἐμὲ ἔρχεται. Πλ. Ἱπ. 281. Οὐ παρὰ δικασταῖς ὑμῖν οἱ λόγοι ἂν γίγνοιντο. Θ. 1, 73, 1. Οὐκ εἰς Δημοσθένην ὄντα με ἠσέλγαινεν. Δη. 21, 31. [Ἐπεμαρτύρετο μὴ ἀπόντος περὶ (πέρι) αὐτοῦ διαβολὰς ἀποδέχεσθαι. Θ. 6, 29, 2. αὐτοῦ del.?] (Ἦλθον ἐπὶ τὴν μητρόπολιν ἐφ' ἡμᾶς. Θ. 6, 82, 4 u. dort d. A.)

7. Wenn einem Nomen das von einer Präposition abhängt eine Apposition beigefügt ist, so wird die Präposition theils auch dieser beigefügt, theils nicht. S. § 57, 9, 2. 10, 4.

A. 1. Wiederholt wird die Präposition auch bei dem urgirenden οὗτος. S. § 51, 7, 5.

A. 2. Ueber Nicht-Wiederholung der Präposition beim Relativ § 51, 11, 1. (Φιλεῖ τὸ πλῆθος ἐν τούτοις τοῖς ἐπιτηδεύμασι τὸν βίον διάγειν ἐν οἷς ἂν τοὺς ἄρχοντας τοὺς αὐτῶν ὁρῶσι διατρίβοντας. Ἰσ. 3, 37. So nicht selten

ἐν vgl. m. Anm. zu Thuk. 2, 86, 1; ἐξ Isokr. 19, 46; ἐπί Aisch. 2, 68, ὑπέρ 3, 81; ἀπό sogar bei der Assimilation Xen. π. πόρων 4, 13 und epanaleptisch § 51, 11, 2 vgl. Poppo zu Thuk. 3, 64. Wenn der relative Satz vorangeht, so muß die Präposition beide Male stehen.

8. Wenn mit einem von einer Präposition regierten Begriffe ein andrer durch ὡς oder ὥσπερ [καθάπερ] verglichen angefügt wird, so steht die Präposition gewöhnlich bei beiden, wenn die Vergleichung folgt; bei ὡς regelmäßig, bei ὥσπερ gewöhnlicher nur bei der Vergleichung, wenn diese vorangeht; wohl immer nur bei ihr, wenn sie ein bloßes Adjectiv ist und vorangeht. [z. Dion. p. 259.] *Παρ' ἡμᾶς φοιτᾷ ὡς παρὰ φίλους. Πλ. πολ.* 328. (*Ὡς βασιλέα πλέομεν ὥσπερ πρὸς δεσπότην. Ἰσ.* 4, 121.) *Μὴ ὡς ὑπὲρ ἀλλοτρίας, ἀλλ' ὡς οἰκείας τῆς πόλεως βουλεύεσθε. Αἰ.* 3, 255. (*Οἱ ἡμέτεροι περὶ οὐδὲν οὕτω τῶν ὄντων ἐσπούδαζον ὡς τὸ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν. Ἰσ.* 22, 188.) — (*Ἡ ψυχὴ ἐκλύεται ὥσπερ ἐκ δεσμῶν ἐκ τοῦ σώματος. Πλ. Φαίδ.* 67. *Ὥσπερ ἐν κατόπτρῳ ἐν τῷ ἐρῶντι ἑαυτὸν ὁρῶν λέληθεν. Πλ. Φαῖδ.* 255, d.) *Ὡς ἐν κατόπτροις αὐτῶν ταῖς πράξεσιν ἡγήσω καθεωρακέναι τὴν πάντων ἀμέλειαν. Πλ. νό.* 905. *Δεῖ ὡς περὶ μητρὸς καὶ τροφοῦ τῆς χώρας οὕτω βουλεύεσθαι. Πλ. πολ.* 414. *Οἱ Μεσσήνιοι ὡς ἐς πατρίδα ταύτην πέμψαντες σφῶν αὐτῶν τοὺς ἐπιτηδειοτάτους ἐλῄζον τὴν Λακωνικήν. Θ.* 4, 41, 1. — *Ὡς πρὸς φίλους ὄντας μοι τοὺς θεοὺς οὕτω διάκειμαι. Ξε. Κυ.* 1, 6, 4. — *Ὑμᾶς χρὴ ὅταν τελευτήσω ὡς περὶ εὐδαίμονος ἐμοῦ καὶ λέγειν καὶ ποιεῖν πάντα. Ξε. Κυ.* 8, 7, 6. *Ὥσπερ ἐν ἀλλοτρίᾳ τῇ πόλει ἐκινδύνευον. Ἰσ.* 8, 12.

9. Wenn zwei oder mehrere Begriffe von derselben Präposition abhangen, so setzte man sie gewöhnlich nur ein Mal bei copulativer, oft auch bei adversativer Verbindung. Eben so in correspondirenden Fragen. Vgl. Reg. z. Th. u. Präpositionen. (*Ὑπό τε τῶν ἄλλων ἀνθρώπων καὶ ὑπὸ τῶν ἔπειτα πολὺ θαυμασθήσεσθε. Θ.* 7, 56, 2.) Vgl. § 69, 59, 2. *Ἡγοῦμαι ὑμῖν τοῖς δικασταῖς, περὶ πολλοῦ εἶναι τὰς φονικὰς δίκας ὀρθῶς διαγιγνώσκειν, μάλιστα μὲν τῶν θεῶν ἕνεκα καὶ τοῦ εὐσεβοῦς, ἔπειτα δὲ καὶ ὑμῶν αὐτῶν. Ἀντ.* 6, 3. [vgl. Th. 1, 141, 6.] *Εὑρήσετε τοὺς πλείστους τῶν ἀνθρώπων ἄμεινον βουλευομένους ὑπὲρ τῶν ἐχθρῶν ἢ σφῶν αὐτῶν. Ἰσ.* 8, 106. [z. Th. 7, 77, 1 vgl. 47, 3.] *Ἐγὼ οἶμαι ὑμᾶς* [*δεῖν*] *οὐ περὶ τῶν ὀνομάτων διαφέρεσθαι ἀλλὰ τῆς τούτων διανοίας. Λυ.* 10, 7 wiederholt 11, 3. *Δῆλον ἐγένετο ὅτι τούτου ἕνεκα ἔλθοι, οὐ τῆς τῶν Ἑλλήνων εὐνοίας. Ξε. ἀν.* 4, 7, 20. *Οἱ τριάκοντα πολλοὺς μὲν ἔχθρας ἕνεκα ἀπέκτεινον, πολλοὺς δὲ χρημάτων. Ξε. Ἑλ.* 2, 3, 21. — *Πῶς ἔχει δόξης τοῦ τοιοῦδε πέρι; Τίνος δή; Τοῦ ὑπολαμβάνειν παρὰ σεαυτῷ τὸν μὲν ἀμείνω ἄνδρα, τὸν δὲ χείρω. Πλ. πολ.* 456. — (*Βασιλεία καταλύεται ἢ καί τις ἀρχὴ πώποτε κατελύθη μῶν ὑπό τινων ἄλλων ἢ σφῶν αὐτῶν; Πλ. νό.* 683.

A. 1. Ueber Ergänzung des Substantivs zu der Präposition aus dem Vorhergehenden § 50, 1, 22.

[A. 2. Nur Dichter erlaubten sich auch die Präposition erst dem zweiten Worte beizufügen. Χρὴ Μεγαρέας μήτε γῇ μήτ' ἐν ἀγορᾷ μένειν. Ἀρ. Ἀχ. 533. Vgl. Lobeck zu Soph. Ai. p. 249.]

A. 3. Nicht anstößig war es dieselbe Präposition kurz hinter her, etwa nur

durch den Artikel getrennt, zwei Mal zu gebrauchen. [z. Th. 1, 54, 1.] Λακεδαιμόνιοι ἐσφάλησαν ἐν τῇ ἐν Λεύκτροις μάχῃ. Ξε. Ἑλ. 7, 2, 2.

A. 4. Ein mehrern parataktisch verbundenen Präpositionen gemeinschaftliches Object muß im Griechischen wie im Lateinischen bei jeder Präposition stehen: ἐπὶ γῆς καὶ ὑπὸ γῆς auf und unter der Erde.

10. Mit der ein Mal gesetzten Präposition zwei verschiedene Casus zu verbinden war unstatthaft. [z. Th. 6, 34, 4.]

11. Den Casus der Präposition bestimmte ursprünglich die Bedeutung desselben. Vgl. § 46, 1, 1—3. Es regieren aber

1) den Genitiv *πρό, ἀπό, ἐκ* oder *ἐξ, ἀντί* und die uneig. *ἄνευ, ἕνεκα.* Vgl. § 69, *ἄχρι* u. *μέχρι;*
2) den Dativ *ἐν* und *σύν* (*ξύν*);
3) den Accusativ *εἰς,* (*ὡς*) u. *ἀνά* [dies dicht. auch den Da.];
4) den Genitiv und Accusativ *διά, κατά, ὑπέρ, μετά* [dies bei Dichtern auch den Dativ];
5) den Genitiv, Dativ und Accusativ *ἀμφί, περί, παρά, πρός, ἐπί, ὑπό.*

A. Die märkische Grammatik faßt die Rection der eigentlichen Präpositionen in folgende Verse:

> Setz ἐκ, πρό, ἀπ', ἀντί zum zweiten Casus hin,
> zum vierten εἰς, ἀνά, zum dritten ἐν und σύν;
> zwei Casus liebt διά, κατά, ὑπέρ, μετά,
> drei πρός, ἀμφί, περί, ἐπί, ὑπό, παρά.

II. Ueber ἐν und σύν; ἀντί, πρό, ἀπό; ἐξ, ἄνευ und ἕνεκα.

12. *Ἐν* in mit dem Da. bezeichnet in weitester Bedeutung daß etwas im Umfange oder Bereiche des Begriffes enthalten sei. [Vgl. die Reg. zu Kr.'s Ausgaben.]

A. 1. Ueber das locale ἐν § 46, 1, 3 (ἐν Ἀρίφρονος ꝛc. § 43, 3, 6), das temporale § 48, 2, 6—9. Ersteres steht zuweilen auch für unser auf; besonders aber für unser bei, an, da der Grieche bei den Ortsnamen auch das Gebiet, die Umgebungen des Ortes mit umfaßt dachte. Ἐν γῇ πένεσθαι κρεῖττον ἢ πλουτοῦντα πλεῖν. Ἀντιφά. 101. — Λεωτυχίδης ἡγεῖτο τῶν ἐν Μυκάλῃ Ἑλλήνων. Θ. 1, 89, 1. Ἦλθον εἰς Τραπεζοῦντα, πόλιν Ἑλληνίδα, οἰκουμένην ἐν τῷ Εὐξείνῳ πόντῳ. Ξε. ἀν. 4, 8, 22 mit d. A.

(A. 2. Bei Verben der Bewegung bezeichnet ἐν das erreichte Ziel. Doch beschränkt dieser Sprachgebrauch sich bei att. Schriftstellern auf die Verbindung mit dem Perfect oder Plusquamperfect. [z. Th. 4, 14, 1.] Denn mehr als zw. sind Thuk. 4, 42, 3. 7, 17, 2, Xen. Hell. 7, 5, 10. Als Perfect gilt auch οἴχομαι. [Xe. An. 4, 7, 17.] Vgl. § 52, 1, 4. Nur bei τιθέναι und ähnlichen Verben findet sich neben εἰς auch ἐν, in sofern die Ruhe als Ergebniß zu bezeichnen ist. Ἐς τὸ Ἥραιον κατέφυγον. οἱ δὲ ἐν τῷ Ἡραίῳ καταπεφευγότες ἐξῄεσαν. Ξε. Ἑλ. 4, 5, 5. Ὤιχοντο ἐν τοῖς ὀχυροῖς καὶ τὰ ἐπιτήδεια ἐν τούτοις ἀνακεκομισμένοι ἦσαν. Ξε. ἀν. 4, 7, 17. — Θὲς ἐν φρενὸς δέλτοισι τοὺς ἐμοὺς λόγους. Σο. ἀποσ. 535. Regelmäßig ist δῆσαι ἐν πέδαις. Lobeck Paralipp. p. 524.)

A. 3. Bei Pluralen individueller Gegenstände (wie bei Collectiven) heißt ἐν auch unter (eben so im Gebiete der —); durch vor übersetzbar bei Begriffen des Redens, durch zu bei denen des Zuzählens. Ὀχληρόν ἐστιν ἐν νέοις ἀνὴρ γέρων. Μέ. μο. 693. Πορευόμενοι ἐν τοῖς φίλοις ἦσαν. Ξε. ἀν. 5, 4, 32. Οἱ Κρητῶν νόμοι οὐκ εἰσὶ μάτην διαφερόντως ἐν πᾶσιν εὐδό-

κιμοι τοῖς Ἕλλησιν. Πλ. νό. 631. — Ῥητορικοὺς καλῶ τοὺς ἐν τῷ πλήθει (ἐν τοῖς πολλοῖς) λέγειν δυναμένους. Ἰσ. 15, 256. Οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν ἀλλ' ἐν Λακεδαιμονίοις. Ἀρλ. ῥητ. 3, 14. Οὐ δοκοῦσί σοι ἐν τοῖς ἀδίκοις καταλογίζεσθαι τοὺς ἀχαρίστους; Ξε. ἀπ. 2, 2, 1. Τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων δοκεῖ ἐν τοῖς μεγίστοις εἶναι. Ξε. Κυ. 1, 6, 24.

A. 4. In mannigfachen Beziehungen bezeichnet ἐν in welcher Sphäre sich etwas befinde, mit sehr ausgedehntem Gebrauche auch in uneigentlichem Sinne. Δεῖ μετριάζειν ἐν ταῖς εὐπραξίαις. Δη. 20, 162. Ἐν ταῖς ὀλιγαρχίαις οὐκ ἔστι κακῶς λέγειν τοὺς ἄρχοντας. Δη. 22, 32. Τὸ ἐν ἰσηγορίᾳ δοκοῦντά τινος ἄξιον εἶναι τιμᾶσθαι τῶν καλῶν ἐστιν. Δη. 20, 16. — Κλύειν τὸν ἐσθλὸν ἄνδρα χρὴ τῶν ἐν τέλει. Σο. Αἴ. 1352. Πρωταγόρας τετταράκοντα ἔτη ἐν τῇ τέχνῃ ἦν. Πλ. Μέ. 91. Ἄχρηστοι τοῖς πολλοῖς οἱ ἐπιεικέστατοι τῶν ἐν φιλοσοφίᾳ. Πλ. πολ. 489. — Οἱ βασιλεύσαντες ἐπαίδευσαν τὸ πλῆθος ἐν ἀρετῇ. Ἰσ. 12, 138. Ἐν ταῖς ἐλπίσιν χρὴ τοὺς σοφοὺς ἔχειν βίον. Εὐ. Ἰνώ 20. Ὡς μακάριον φρόνησις ἐν χρηστῷ τρόπῳ. Δίφ. 113.

A. 5. Leicht erklären sich Redensarten wie ἐν ὅπλοις εἶναι unter den Waffen sein, ἐν παρασκευῇ εἶναι sich mit Rüstungen beschäftigen [z. Th. 2, 80, 2], ἐν ἐλπίδι εἶναι [zu 4, 70, 3]; ἐν αἰτίᾳ ἔχειν τινά Jemandem Vorwürfe machen [z. Th. 1, 35, 2], ἐν ὀργῇ ἔχειν (ποιεῖσθαι) τινά Jemanden zürnen [z. Th. 2, 18, 3 vgl. Dem. 1, 16] u. ä.

A. 6. In sofern eine Wirkung in dem Object beruht bezeichnet ἐν den Gegenstand auf den etwas ankommt, von dem es abhängt; von Sachen gebraucht oft unser durch. Τίς ἡ ἐμὴ δύναμις; ἀλλ' ἐν σοὶ πάντα ἐστίν. Ξε. οἰκ. 7, 14. Ὅλης τῆς Ἑλλάδος ἐν ταῖς γυναιξίν ἐστιν ἡ σωτηρία. Ἀρ. Λυ. 30. [Elmsley zu Eu. Med. 223.] — Ἐν ταῖς ναυσὶ τῶν Ἑλλήνων τὰ πράγματα ἐγένετο. Θ. 1, 74, 1. Ἐν τῷ δικαίῳ ἐλπίδες σωτηρίας. Εὐ. Ἑλ. 1031. Ἐν τῷ ἕκαστον δικαίως ἄρχειν ἥ τε πολιτεία καὶ τὸ ἄλλο πλῆθος τὸ ὑμέτερον σώζεται. Λυ. 26, 9.

A. 7. Ueber ἐν von der Zeit ꝛc. § 48, 2 mit den A.; mit Substantivirungen adverbartig § 43, 4, 5; ἐν ἑαυτῷ (ἑαυτοῦ) εἶναι § 47, 6, 6; ἐν Διονύσου ꝛc. § 43, 3, 6.

13. *Σύν* (*ξύν*) mit, gleichfalls den Dativ regierend, bezeichnet Verbindung und Zusammenhang, woraus sich der Begriff der Unterstützung entwickelt.

A. 1. Daß σύν τινι mehr Cohärenz, μετά τινος mehr Coexistenz bezeichne ergiebt schon die Vergleichung der Composita, z. B. συνέχω und μετέχω, συλλαμβάνω und μεταλαμβάνω. Vgl. über ἕπεσθαι σύν τινι und μετά τινος § 48, 7, 12. Τῆς γῆς σὺν ἀνδράσιν κάλλιον ἢ κενῆς κρατεῖν. Σο. ΟΤ. 54. Ὅσοι γε σὺν νῷ χρηστὰ βουλεύουσ' ἀεί, κἂν μὴ παραυτίκ', αὖθίς εἰσι χρήσιμοι. Εὐ. Ὀρ. 909. — Σὺν μορίοισι τὰ καλὰ γίγνεται πόνοις. Εὐ. Ἀρχ. 12. Ὁ διδάσκαλος σὺν τῷ νόμῳ ἐκέλευεν ἀεὶ τὸν δικαστὴν ψῆφον τίθεσθαι. Ξε. Κυ. 1, 3, 17. Σὺν τῷ δικαίῳ τοι μέγ' ἔξεστιν φρονεῖν. Σο. Αἴ. 1125. — Ἡ κτῆσις τῶν πιστῶν ἔστιν οὐδαμῶς σὺν τῇ βίᾳ, ἀλλὰ μᾶλλον σὺν τῇ εὐεργεσίᾳ. Ξε. Κυ. 8, 7, 13.

A. 2. Σὺν (τοῖς) θεοῖς heißt mit Gewährung, gew. mit Hülfe der Götter und brachylogisch σὺν θεῷ (θεοῖς) εἰρήσεται, εἰπεῖν unter Voraussetzung göttlicher Hülfe sei es gesagt. [Hermann zu So. OK. 282.] (Ἢ εὐτυχεῖς σὺν τῷ θεῷ φανούμεθ' ἢ πεπτωκότες. Σο. ΟΤ. 145.) Σὺν θεοῖς οὐδενὸς ἀπορήσομεν. Ξε. Κυ. 6, 4, 19. Πολλαὶ ὁδοὶ σὺν θεοῖς εὐπραγίας. Πίνδ. Ὀλ. 8, 14. — Οἶμαι μέν, οἶμαι, σὺν θεῷ δ' εἰρήσεται, ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας. Ἀρ. πλ. 114. Νῦν, σὺν θεοῖς εἰπεῖν, πολλὰς ἐλπίδας ἔχω. Δη. 29, 1.

14. *Ἀντί,* in der ursprünglichen Bedeutung gegenüber ziemlich

verschollen [Xen. An. 4, 7, 6?], hat den Grundbegriff gegen, statt, und regiert den Genitiv.

A. 1. Daher bezeichnet es Gleichstellung oder Gleichgeltung, z. B. bei Verben des Tausches u. ä.; demnächst auch Stellvertretung; oft brachylogisch, mit seinem Substantiv für einen entsprechenden Satz gebraucht. Ἓν ἀνθ' ἑνὸς οὐκ ἐλάχιστον ἔγωγε θείην ἂν εἰς πολλὰ ἀνδρὶ νοῦν ἔχοντι πλοῦτον χρησιμώτατον εἶναι. Πλ. πολ. 331. Ἡδύ γε πατὴρ φρόνησιν ἀντ' ὀργῆς ἔχων. Μέ. μο. 669. Δεῖ τὰ μὲν ἀντ' ἀργυρίου ἀλλάξασθαι τοῖς τι δεομένοις ἀποδόσθαι, τοῖς δὲ ἀντὶ αὖ ἀργυρίου διαλλάττειν ὅσοι τι δέονται πρίασθαι. Πλ. πολ. 371. Τὸ βέλτιστον ἀντὶ τῆς δόξης τῆς παρὰ τῶν ἀνθρώπων αἱρεῖσθε. Πλ. Φαιδ. 232. Ἀντὶ τοῦ τιμωρεῖν τοῖς τυράννοις αἱ πόλεις μεγάλως τιμῶσι τὸν ἀποκτείναντα τὸν τύραννον. Ξε. Ἱέρ. 4, 5. — Κακὰ πράττει ἀντ' ἀγαθῶν. Πλ. Φαιδ. 260. Οὐκ ἔστι τοῦτο, ὡς ἔοικεν, ἐν ἀνθρώπου φύσει ἐπὶ ἃ οἴεται κακὰ ἰέναι ἀντὶ τῶν ἀγαθῶν. Πλ. Πρω. 358.

A. 2. Ueber ἀνθ' ὧν § 51, 10, 4; ἀντί beim Comparativ § 49, 2, 7. [So gebrauchen die Tragiker es auch nach ἄλλος für ἤ. Οὐκ ἔστιν ἄλλη σή τις ἀντ' ἐμοῦ γονή. Εὐ. Ἑλ. 574.

15. *Πρό* eig. vor regiert den Genitiv.

A. 1. So zunächst local, auch uneigentlich und temporal. Aus jener Bedeutung entwickelte sich der Begriff zum Schutze, zum Besten für. Πρὸ τῶν ὀφθαλμῶν προφαίνεται. Αἰ. 2, 148. Μινώα ἡ νῆσος κεῖται πρὸ Μεγάρων. Θ. 3, 51, 1. Πολύ τι σκότος, ὡς ἔοικεν, ἐστὶ παρ' ὑμῖν πρὸ τῆς ἀληθείας. Δη. 18, 159. — Πίνδαρον τὸν ποιητὴν οἱ πρὸ ἡμῶν γεγονότες ὑπὲρ ἑνὸς μόνου ῥήματος, ὅτι τὴν πόλιν ἔρεισμα τῆς Ἑλλάδος ὠνόμασεν, ἐτίμησαν. Ἰσ. 15, 166. — Πρὸ δεσποτῶν τοῖσι γενναίοισι δούλοις εὐκλεέστατον θανεῖν. Εὐ. Ἑλ. 1640. Πολλάκις ἃ πρὸ αὑτοῦ τις οὐκ ἐξειργάσατο, ταῦτα ὁ φίλος πρὸ τοῦ φίλου ἐξήρκεσεν. Ξε. ἀπ. 2, 4, 7.

A. 2. Den Vorzug bezeichnet πρό bei Begriffen der Wahl und Schätzung; auch bei Comparativen nach § 49, 2, 7. Sodann heißt es auch bloß anstatt. Γελοῖον καὶ φαῦλον τὸ πρὸ τῶν βελτίστων τὰ βραχύτερα αἱρουμένους φαίνεσθαι. Πλ. νό. 887. Βούλου γονεῖς πρὸ παντὸς ἐν τιμαῖς ἔχειν. Μέ. μο. 72. Πρὸ πολλοῦ ποιησαίμην ἄν σοι κεχαρισμένως εἰπεῖν. Ἰσ. 5, 14. — Τὴν αὐτὴν δύναται δούλωσιν ἥ τε μεγίστη καὶ ἐλαχίστη δικαίωσις πρὸ δίκης τοῖς πέλας ἐπιτασσομένη. Θ. 1, 141, 1.

16. *Ἀπό* von, mit dem Ge., bezeichnet ursprünglich Abscheidung. [Reg. z. Th. u. *ἀπό*.]

(A. 1. Entfernung bezeichnet ἀπό in eigentlicher wie in uneigentlicher Bedeutung: ἀπὸ σκοποῦ fern vom Ziele und fern vom Zwecke, nicht treffend, wie ἀπὸ τρόπου = πόρρω τοῦ καθήκοντος. Αἱ παλαιαὶ πόλεις διὰ τὴν λῃστείαν ἀπὸ θαλάσσης μᾶλλον ᾠκίσθησαν. Θ. 1, 7, 2. Οὐδένα ἔβαλε τῶν ἀπὸ τοῦ σκοποῦ ἀφεστώτων. Ἀντ. 3, β, 5. Οὐκ ἀπὸ σκοποῦ εἴρηκεν αἴσθησιν καὶ ἐπιστήμην ταὐτὸν θέμενος. Πλ. Θε. 179. Οὐδὲν ἀπὸ τρόπου λέγεις. Ὅρα δὴ καὶ εἰ τόδε πρὸς τρόπου λέγω. Πλ. πολ. 470.)

A. 2. Dann bezeichnet ἀπό local und temporal bei Begriffen der Ruhe wie der Bewegung von wo etwas ausgeht. Ueber ἀπό bei Compositen mit ἀπό u. a. § 47, 13, 3 vgl. eb. A. 1. Ueber die sog. Attraction beim Artikel § 50, 8, 14. vgl. A. 17. Αἱ διώρυχες ἦσαν ἀπὸ τοῦ Τίγρητος ποταμοῦ. Ξε. ἀν. 2, 4, 13. Ὁ τῶν Περσῶν βασιλεὺς τολμᾷ γράφειν ὅτι δεσπότης ἐστὶν ἁπάντων ἀνθρώπων ἀφ' ἡλίου ἀνιόντος μέχρι δυομένου. Αἰ. 3, 132. Οὐκ ἀπὸ τῆς αὑτῶν ὁρμῶνται Ἀθηναῖοι, ἀλλ' ἐκ τῆς τῶν ἐπικαλεσαμένων. Θ. 4, 61, 5. Ἐγένετο ἡ ἀρχὴ ἡ Ὀδρυσῶν ἐπὶ μὲν θάλασσαν καθήκουσα ἀπὸ Ἀβδήρων πόλεως ἐς τὸν Εὔξεινον πόντον. Θ. 2, 97, 2. (Ἄρτι ἀπ' ἐκείνου ἔρχομαι. Πλ. Πρω. 309.) — Προςήκει τοῖς ἀμφισβη-

τοῦσιν ἀρετῆς εὐθὺς ἀπὸ γενεᾶς διαφέροντας εἶναι τῶν ἄλλων. Ἰσ. 12, 120. § 43, 4, 7.]

A. 3. Ein Ausgehen bezeichnen ἀπό und ἐξ auch bei den Begriffen des Anknüpfens: an. Aehnlich stehen sie bei ἄρχεσθαι: mit. Vgl. § 47, 13, 9 u. 56, 8, 6. Κατέδησαν ἀπὸ δένδρων τοὺς ἵππους. Ξε. Ἑλ. 4, 4, 10. Ἀνεκρέμασεν ὑμᾶς ἀπὸ τῶν ἐλπίδων. Αἰ. 3, 100. Ἤρτηται ἐκ τῶν θείων θάτερα. Πλ. νό. 631. Ἐκ τῶν δένδρων τινὲς ἀπήγχοντο. Θ. 3, 81, 2.

A. 4. Ἀφ' ἵππου ex equo, zu Pferde u. ä. sagt man in sofern die Handlung auf ein Object gerichtet ist. Κῦρος τὰ θηρία ἐθήρευεν ἀπὸ ἵππου. Ξε. ἀν. 1, 2, 7. Τοξότης ἀφ' ἵππων Κρὴς οὐκ ἄχρηστος. Πλ. νό. 834. Ἀπὸ νεῶν ἐπεζομάχουν. Θ. 4, 14, 3.

A. 5. Ein Herkommen bezeichnet ἀπό rücksichtlich des Ortes, der Masse, des Geschlechtes. Ἱμέρα ἀπὸ Ζάγκλης ᾠκίσθη ὑπὸ Εὐκλείδου. Θ. 6, 5, 2. Τῶν ἀπὸ τοῦ δήμου τις ἀντεῖπεν. Θ. 4, 130, 3. Ἀληθὲς ἦν ἄρα ἐσθλῶν ἀπ' ἀνδρῶν ἐσθλὰ γίγνεσθαι τέκνα. Εὐ. Ἀλκμαί. 7.

A. 6. Eben so steht ἀπό von der Masse der etwas entnommen wird, z. B. dem Vermögen. Τοσοῦτοι ἐφύλασσον ἀπό τε τῶν πρεσβυτάτων καὶ νεωτάτων. Θ. 2, 13, 6. Τοσαῦτα λελειτούργηκεν ἀπὸ τοσούτων χρημάτων. Ἰσαῖ. 5, 39.

A. 7. Das Ausgehen einer Wirkung bezeichnet ἀπό sowohl von Personen als von Sachen, in Fällen der Art zuweilen unserm durch, mit, bei, entsprechend, wie unserm nach bei σκοπεῖν, τεκμαίρεσθαι u. ä. Hieher gehört ἀφ' ἑαυτοῦ aus eigenem Antriebe. Ueber ἀπό bei Passiven § 52, 5, 1, bei Substantiven z. Th. 1, 37, 1. Τῷ θεοφιλεῖ οὐχ ὁμολογήσομεν ὅσα γε ἀπὸ θεῶν γίγνεται, πάντα γίγνεσθαι ὡς ἄριστα; Πλ. πολ. 612. Ἀπ' ἐχθρῶν πολλὰ μανθάνουσιν οἱ σοφοί. Ἀρ. ὄρ. 376. Φέρειν χρὴ τά τε δαιμόνια ἀναγκκίως τά τε ἀπὸ τῶν πολεμίων ἀνδρείως. Θ. 2, 64, 2. Σωφρονίζει ὁ ἀπὸ τῶν δορυφόρων φόβος. Ξε. Ἱέρ. 10, 3. Αἱ θεραπεῖαι αἱ ἀπὸ τῶν μέγιστον φρονουσῶν γυναικῶν εὐφραίνουσι μάλιστα. Ξε. Ἱέρ. 1, 28. — (Πιστεύομεν τῷ ἀφ' ἡμῶν (αὐτῶν) εὐψύχῳ. Θ. 2, 39, 1.) — Ἀφ' ἑαυτῶν καὶ οὐ τοῦ πλήθους κελεύσαντος ταῦτα εἶπον. Θ. 5, 60, 1. — Ἡ σελήνη ἀπὸ τοῦ ἡλίου ἔχει τὸ φῶς. Πλ. Κρατ. 409. Οὐκ ἄξιον ἀπὸ τῆς ὄψεως οὔτε φιλεῖν οὔτε μισεῖν οὐδένα, ἀλλ' ἐκ τῶν ἔργων σκοπεῖν. Λυ. 16, 19. Θάρσος καὶ ἀπὸ τέχνης γίγνεται ἀνθρώποις καὶ ἀπὸ θυμοῦ καὶ ἀπὸ μανίας. Πλ. Πρω. 351. Δύναμιν ἀπὸ τῶν τρόπων ἐκτησάμεθα. Θ. 2, 41, 1. — Τὸν θεῶν πόλεμον ἀπὸ ποίου ἂν τάχους φεύγων τις ἀποφύγοι; Ξε. ἀν. 2, 5, 7. Ἀπὸ τῆς αὐτῆς διανοίας δεῖ τάς τε ἰδίας δίκας καὶ τὰς δημοσίας κρίνειν. Δη. 18, 210. — Ἀπ' αὐτῶν τῶν ἔργων σκοπεῖτε. Θ. 1, 21, 2. Οὐκ ἔστ' ἀναισχυντότερον οὐδὲν θηρίον γυναικός· ἀπ' ἐμαυτῆς ἐγὼ τεκμαίρομαι. Ἄλεξις 294. — Οὐχ οἷόν τε μὴ ἀπὸ ἀντιπάλου παρασκευῆς ὁμοῖόν τι ἢ ἴσον ἐς τὸ κοινὸν βουλεύεσθαι. Θ. 1, 91, 4. Τὴν τόλμαν ἀπὸ τῆς ὁμοίας τύχης ἡ ξύνεσις ἐκ τοῦ ὑπέρφρονος ἐχυρωτέραν παρέχεται. Θ. 2, 62, 5.

A. 8. So bezeichnet ἀπό oft auch die Veranlassung; ja selbst eine Gemäßheit: nach, in Folge, auf. Ἀπὸ στάσεων ἐκπίπτοντες τὰς πόλεις ἔκτιζον. Θ. 1, 12, 1. Ἀπ' ἀρετῆς προτιμᾶται. Θ. 2, 37, 1. — Ταῦτα οὐ πολέμῳ ἔλαβον, ἀλλ' ἀπὸ τῆς πρότερον ξυμβάσεως. Θ. 4, 21, 4. Ἀπὸ σημείου ἑνὸς ἐπιστρέψαντες τὰς ναῦς μετωπηδὸν ἔπλεον. Θ. 2, 90, 3. [zu 4, 67, 5.]

A. 9. Ferner bezeichnet ἀπό woher (Geld-) Mittel entnommen werden. Ἔστι τῶν χρημάτων ἀπὸ τῶν ξυμμάχων ἡ πρόσοδος. Θ. 3, 13, 5. Οἱ λῃσταὶ δύνανται ζῆν ἀπὸ τῶν πολὺ κρειττόνων. Ξε. Ἱέρ. 8, 8. Κάλλιστόν τε καὶ ἄριστον καὶ ἥδιστον ἀπὸ τῆς γεωργίας τὸν βίον ποιεῖσθαι. Ξε. οἰκ. 6, 11. — Ἆρ' οἴει τοὺς θεοὺς ὠφελεῖσθαι ἀπὸ τούτων ἃ παρ' ἡμῶν

λαμβάνουσιν; Πλ. Εὐθύφ. 15. Εἷς μίαν ἕκαστος τέχνην ἐν πόλει κεκτημένος ἀπὸ ταύτης ἅμα καὶ τὸ ζῆν κτάσθω. Πλ. νό. 847. Θαυμαστόν ἐστιν ὅτι ζῶντες ἀπὸ τοῦ συκοφαντεῖν οὔ φασιν λαμβάνειν ἀπὸ τῆς πόλεως. [Δη. 58, 63.] — Διαλαμβάνουσι τὸ ἀπὸ τῶν αἰχμαλώτων ἀργύριον γενόμενον. Ξε. ἀν. 5, 3, 4.

A. 10. Ἀπὸ τῶν χρημάτων heißt vermittelst der Gelder, für die Gelder. Στράτευμα συνέλεξεν ἀπὸ τούτων τῶν χρημάτων. Ξε. ἀν. 1, 1, 9. Περικλῆς Σάμον ἀπὸ διακοσίων νεῶν καὶ χιλίων ταλάντων κατεπολέμησεν. Ἰσ. 15, 111.

A. 11. Eigenthümlich sind einzelne Redensarten, wie ἀπὸ στόματος auswendig, ἀπὸ γλώσσης mündlich, ἀπὸ ταὐτομάτου ohne Veranlassung [z. Th. 6, 36, 2], ἀπὸ τοῦ προφανοῦς offen u. a. Vgl. § 43, 4, 5. Δυναίμην ἂν Ἰλιάδα ὅλην καὶ Ὀδυσσείαν ἀπὸ στόματος εἰπεῖν. Ξε. συ. 3, 5. Ὅσα ἀπὸ γλώσσης εἴρητο αὐτοῖς εἶπον. Θ. 7, 10. Ἀψευδής τις ἀπὸ ταὐτομάτου πλανᾶται φήμη κατὰ τὴν πόλιν. Αἰ. 1, 127.

17. *Ἐξ*, *ἐκ* mit dem Ge., dem *εἰς* correlat, dem *ἀπό* vielfach synonym, bezeichnet das Hervorgehen aus einer Umfassung, ursprünglich local. [Reg. z. Th. u. *ἐκ*.] *Οὔτ' ἐκ χερὸς μεθέντα καρτερὸν λίθον ῥᾷον κατασχεῖν, οὔτ' ἀπὸ γλώττης λόγον. Με.* 607.

A. 1. Wie ἐν bei, nach 12 A. 1, so kann auch ἐκ von heißen. Ἡ ἀναχώρησις τῶν Ἑλλήνων ἐξ Ἰλίου χρονία γενομένη πολλὰ ἐνεόχμωσεν. Θ. 1, 12, 1.

A. 2. Wie bei localen Begriffen, so findet sich ἐξ auch bei persönlichen Pluralen. So steht bei ἐκ, wie bei εἰς und bei διά mit dem Ge., der Name des Volkes für den Namen des Landes. Ἀπιέναι ἐκέλευσεν ἐς κόρακας ἐκ τῶν πολιτῶν. Λυ. 13, 81. Ἡ ἐκ τῶν πολεμίων τροφὴ κουφοτέραν τὴν στρατείαν ἐδόκει παρέχειν. Ξε. Κυ. 5, 4, 28. — Κτήνη ἐκ τῶν Ταόχων ἔλαβον. Ξε. ἀν. 4, 7, 17.

A. 3. Ueber die sog. Attraction § 50, 8, 14 u. 16f. Nur scheinbar steht ἐκ für ἐν, in sofern nämlich eine Richtung auf den Standpunkt eines Andern vorschwebt. So auch bei Beschreibungen, z. B. ἐκ δεξιᾶς zur Rechten (τὸ ἐκ τοῦ ἰσθμοῦ τεῖχος die nach dem J. hin gelegene Mauer). Ἤκουσαν οὐδὲν ἐκ τῆς Λακωνικῆς πεπραγμένον. Θ. 5, 46, 5. Ἀνάγνωθι τὸν νόμον τὸν ἐκ τῆς στήλης. Ἀνδ. 1, 96. Ἤισθοντο οἱ ἐκ τῶν πύργων φύλακες. Θ. 3, 22, 3. [vgl. Reg. z. Th. u. ἐκ.] — Χρὴ ἐκ μὲν θαλάττης τὴν Εὔβοιαν προβαλέσθαι πρὸ τῆς Ἀττικῆς, ἐκ δὲ τῆς μεσογείας τὴν Βοιωτίαν. Δη. 18, 301. Ἕστασαν Πέρσαι μὲν ἐκ δεξιᾶς, οἱ δ' ἄλλοι σύμμαχοι ἐξ ἀριστερᾶς τῆς ὁδοῦ. Ξε. Κυ. 8, 3, 10. [zu Xe. An. 5, 4, 3.] — (Τὸ ἐκ τοῦ ἰσθμοῦ τεῖχος οἱ Ἀθηναῖοι ἀποτειχίσαντες ἐφρούρουν, τὸ δ' ἐς τὴν Παλλήνην ἀτείχιστον ἦν. Θ. 1, 64, 1.)

A. 4. Als Gegensatz zu εἰς kann ἐξ auch, wie ἀπό von — an bedeuten. Τὴν Κιλικίαν ὄρος περιέχει ὀχυρὸν καὶ ὑψηλὸν ἐκ θαλάττης εἰς θάλατταν. Ξε. ἀν. 1, 2, 22. Ἐκ τῶν ποδῶν ἐς τὴν κεφαλήν σοι πάντ' ἐρῶ. Ἀρ. πλ. 650.

A. 5. Wie ἀπό steht ἐξ auch bei Begriffen des Anknüpfens und Anfangens § 68, 16, 3. Τὰ στρώματ' ὦ παῖ δῆσον ἐκ τῆς ἀσπίδος. Ἀρ. Ἀχ. 1136. Ἐκ τῆς θαλάττης ἅπασα ὑμῖν ἤρτηται ἡ σωτηρία. Ξε. Ἑλ. 7, 1, 6. Οὔτε ναῦν ἐξ ἑνὸς ἀγκυρίου οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ὁρμιστέον. Σωκράτης Στ. 1, 86.

A. 6. Den Vorsprung bezeichnet ἐξ in ἐκ πολλοῦ (vgl. § 43, 4, 8), ἐκ τόξου ῥύματος u. ä. Ἐκ πόσου ἂν ἵππος πεζὸν ἕλοι; Ξε. Ἱππ. 5, 1. Οὐδ' εἰ ταχὺς εἴη, πεζὸς πεζὸν ἂν διώκων καταλάβοι ἐκ τόξου ῥύματος. Ξε. ἀν. 3, 3, 15.

A. 7. An den localen Gebrauch des ἐξ schließt sich der tempo-

rale (seit, nach), der sich zuweilen mit dem caussalen berührt: ἐκ τούτου hierauf und deßhalb, aber ἐκ τούτων in der Regel in Folge dessen, aus diesen Gründen. (Doch auch synonym mit μετὰ ταῦτα Xen. ἱππ. 1, 7, vgl. Oik. 2, 1. 4, 12. Mem. 3, 5, 4. (Hertlein.) Kr. zu Xe. An. 1, 3, 11.) Vgl. § 43, 4, 7. Μεγίστας δίδοτε ἐκ παντὸς τοῦ χρόνου δωρεὰς τοῖς τοὺς γυμνικοὺς νικῶσιν ἀγῶνας καὶ στεφανίτας. Δη. 20, 141. Χαλεπὸν τὰ ἐκ πολλοῦ κατεψευσμένα καὶ ἐπιβεβουλευμένα, ταῦτα παραχρῆμα ἀπελέγχειν. Ἀντ. 5, 19. [vgl. § 50, 5, 13.] — Λακεδαιμόνιοι καθιστᾶσι γέροντας ἐκ τῶν ἐκ παιδὸς εἰς γῆρας σωφρόνων. Αἰ. 1, 180. Εἰς τὸ ψεῦδος τρεπόμενοι ὑγιὲς οὐδὲν ἔχοντες εἰς ἄνδρας ἐκ μειρακίων τελευτῶσιν. Πλ. Θε. 173. — Τερπνὸν ἐκ κυναγίας τράπεζα πλήρης. Εὐ. Ἱπ. 109. Ἀνδρῶν ἀγαθῶν ἀδικουμένους ἐκ μὲν εἰρήνης πολεμεῖν, εὖ δὲ παρασχὸν ἐκ πολέμου πάλιν ξυμβῆναι. Θ. 1, 120, 3. — Ἡμῖν τί συμβουλεύεις ἐκ τούτων ποιεῖν; Ξε. Κυ. 3, 1, 13.

A. 8. Eine Herstammung bezeichnet ἐξ sowohl local als geschlechtlich. Ἀρχῖνος ὁ ἐκ Κοίλης ἐγράψατο Θρασύβουλον τὸν Στειριέα. Αἰ. 3, 195. Φιλοῦσι τὰς ἐξ Ἀθηνῶν παρθένους. Εὐ. Σκιρ. 2. — Τὸ στρατόπεδον εἶχεν αὐτῷ τοὺς μὲν ἀπὸ θεῶν, τοὺς δ' ἐξ αὐτῶν τῶν θεῶν γεγονότας. Ἰσ. 12, 81. Ὁ νόμος κελεύει ὁ τοῦ Σόλωνος κρατεῖν τοὺς ἄρρενας καὶ τοὺς ἐκ τῶν ἀρρένων. Δη. 43, 78. Οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός. Εὐ. Δικ. 15. Ἡ ψυχὴ οὐκ ἔργον ἐστὶ τοῦ θεοῦ μόνον ἀλλὰ καὶ μέρος, οὐδ' ὑπ' αὐτοῦ ἀλλ' ἀπ' αὐτοῦ καὶ ἐξ αὐτοῦ γέγονεν. Πλουτ. Ζητ. Πλατ. 2. Vgl. § 47, 6, 5. (Neben dem bloßen Ge. Eu. Phoin. 8.) Ueber ξύλα τέμνειν ἐξ ὄρους z. Th. 2, 75, 2 vgl. Arr. An. 7, 16, 1.

A. 9. Ein Hervorgehen bezeichnet ἐξ auch rücksichtlich der Masse, des Wesens, der Kraft, selbst bei persönlichen Begriffen. Vgl. 16 A. 7. Ueber ἐκ bei Passiven § 52, 5, 2. Hieher gehört auch [Aristot. Met. 4, 24] ἐκ παντὸς τρόπου durch jedes Mittel, auf jede Weise u. ä. Ἐκ τῶν ὁμοίων οἱ κακοὶ γαμοῦσ' ἀεί. Εὐ. Ἀλεξ. 12. Εὑρήσετε ἐν πᾶσιν ἔργοις τοὺς μὲν εὐδοκιμοῦντάς τε καὶ θαυμαζομένους ἐκ τῶν μάλιστα ἐπισταμένων ὄντας, τοὺς δὲ κακοδοξοῦντάς τε καὶ καταφρονουμένους ἐκ τῶν ἀμαθεστάτων. Ξε ἀπ. 3, 6, 17. Πᾶσα πολιτεία μεταβάλλει ἐξ αὐτοῦ τοῦ ἔχοντος τὰς ἀρχάς. Πλ. πολ. 545. Ἐκ πένητος ἐκ τῶν ὑμετέρων πλούσιος γεγένηται. Λυ. 28, 1. Ἡ ῥαστώνη ὄντως ἐστὶν ἐκ τῶν πόνων, ἐκ ῥαστώνης δέ γε οἶμαι τῆς αἰσχρᾶς οἱ πόνοι πεφύκασι γίγνεσθαι. Πλ. νό. 779. — Νόσοι τῶν καρπῶν ἐκ Διός εἰσιν. Ξε. Ἀθ. π. 2, 6. Ἐκ θεῶν κακὰ γίγνεσθαι ἀδύνατον. Πλ. πολ. 391. Αἱ ἐπιβουλαὶ ἐξ οὐδένων πλέονες τοῖς τυράννοις εἰσὶν ἢ ἀπὸ τῶν μάλιστα φιλεῖν αὐτοὺς προσποιησαμένων. Ξε. Ἱέρ. 1, 38. Ἐκ θεῶν πεπρωμένον ἐστὶ πολέμους ἐν ἀνθρώποις γίγνεσθαι. Ξε. Ἑλ. 6, 3, 6. Τῷ πονοῦντι ἐκ θεῶν ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος. Αἰσ. ἀποσ. 293. — Εὑρίσκεται ἡ ἀλήθεια ἐκ τῶν εἰκότων. Αἰ. 1, 91. Ἐκ πολέμου εἰρήνη βεβαιοῦται. Θ. 1, 124, 3. Τοῖς διδασκάλοις ἐξ ἀνάγκης παρατιθέμεθα τοὺς ἡμετέρους αὐτῶν παῖδας. Αἰ. 1, 9. Ἐκρατεῖτε ἐκ τοῦ προσέχειν τοῖς πράγμασι τὸν νοῦν. Δη. 4, 3. Ταραττόμεθα ἐκ τοῦ μηδὲν φροντίζειν ὧν ἐχρῆν. Δη. 4, 3. — Ὁ τύραννος ἐξ ἅπαντος τοῦ νοῦ οὐκ ἄν ποτε δύναιτο φίλος γίγνεσθαι. Πλ. πολ. 510. Γίγνεται ἐκ τοῦ αὐτοῦ τρόπου μισολογία τε καὶ μισανθρωπία. Πλ. Φαίδ. 89. Ὅστις τὰ ἥδιστα ἐκ παντὸς τρόπου ζητεῖ ποιεῖν, τί ἂν διαφέροι τῶν ἀφρονεστάτων βοσκημάτων; Ξε. ἀπ. 4, 5, 11. Οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν. Σο. Ἀντ. 312.

A. 10. Verwandt ist der Begriff der Gemäßheit: nach, in Folge. Hieher gehört ἐκ τῶν παρόντων ex praesentibus, nach den gegenwärtigen Umständen, u. ä. [z. Th. 3, 29, 2. 6, 70, 4.] Χρὴ ἐκ τῶν ἔργων σκοπεῖν ἃ ἑκάστῳ τυγχάνει πεπραγμένα. Λυ. 25, 13. Δυνήσεσθε θεάσασθαι ἐκ τῶν ὁμολογουμένων καὶ τὰ ἀντιλεγόμενα. Αἰ. 2, 44. Ἐκ τῶν ἔργων χρὴ μᾶλλον ἢ ἐκ τῶν λόγων τὴν ψῆφον φέρειν. Λυ. 12, 33. Οὐκ ἐποίουν ἐκ τῶν ξυγκειμένων ἃ εἴρητο. Θ. 5, 25, 2. Κλέαρχος ἐλέγετο ἀρχικὸς εἶναι ὡς δυνατὸν ἐκ τοῦ τοιούτου τρόπου οἷον καὶ ἐκεῖνος εἶχεν. Ξε. ἀν.

2, 6, 8. [z. Th. 6, 34, 2.] Πράξομεν ὅ, τι ἂν ἡμῖν ὡς ἐκ τῶν παρόντων κόσμον μάλιστα μέλλῃ οἴσειν. Θ. 4, 17, 1. Χρὴ τὸν βελτίω ἐκ τῶν δυνατῶν ἀεὶ πανταχοῦ αἱρεῖσθαι. Πλ. πολ. 618.

A. 11. Ueber ἐξ ἴσου ꝛc. § 43, 4, 5; ἐκ τοῦ εἰκότος z. Th. 4, 17, 4, ἐκ τοῦ ἀδίκου zu Xe. An. 1, 9, 16.

18. *Ἄνευ* ohne regiert den Ge.; über *ὧν ἄνευ* 4 A. 1.

A. Es ist der Gegensatz von σύν und heißt auch ohne Mitwirkung, ohne Zuthun oder Geheiß. Εὔκλειαν ἔλαβον οὐκ ἄνευ πολλῶν πόνων. Εὐ. Ἀνδρομέ. 14. — Τί βροτοῖς ἄνευ Διὸς τελεῖται; Αἰσ. Ἀγ. 1487. Ταῦτα ἄνευ τῆς πόλεως ἐπράσσετο. Θ. 8, 5, 2.

19. *Ἕνεκα, ἕνεκεν, εἵνεκα* wegen regiert den Ge. [Ueber *οὕνεκα* Dial. Sy. § 68, 19, 2 u. z. Th. 6, 56, 3.]

A. 1. Gew. steht es nach seinem Casus; nicht selten jedoch auch vor demselben; zuweilen eingeschoben und selbst von seinem Nomen getrennt. Ἢν μὲν ὁρμισθῇ τις ἡμῶν εἰς λιμένα τὸν τῆς τύχης, ἐβάλετ' ἄγκυραν καθάψας ἀσφαλείας εἵνεκα. Φιλή. 83, 9. Λέγεις, ἃ δὲ λέγεις ἕνεκα τοῦ λαβεῖν λέγεις. Μέ. 810. — Οὕπερ αὐτὸς ἕνεκα φίλων ᾤετο δεῖσθαι, ὡς συνεργοὺς ἔχοι, καὶ αὐτὸς ἐπειρᾶτο συνεργὸς τοῖς φίλοις κράτιστος εἶναι. Ξε. ἀν. 1, 9, 21. Στρατείας ἡ πόλις τῆς τῶν ἄλλων ἕνεχ' Ἑλλήνων ἐλευθερίας καὶ σωτηρίας πεποίηται. Δη. 18, 100.

A. 2. Ἕνεκα (γε) heißt auch was anbetrifft, soviel davon abhängt. Φῶς εἰ μὴ εἴχομεν, ὅμοιοι τοῖς τυφλοῖς ἂν ἦμεν ἕνεκά γε τῶν ἡμετέρων ὀφθαλμῶν. Ξε. ἀπ. 4, 3, 3. Ἀσφαλῶς ἔζων ἕνεκά γε τῶν συκοφάντων. Ἰσ. 15, 163. [Heindorf zu Plat. Charm. 14.]

III. Ueber ἀνά und εἰς; διά, κατά, μετά und ὑπέρ.

20. *Ἀνά* auf, in regiert den Ac.

(A. 1. Oertlich heißt es auf — hin. Selten steht es ähnlich (distributiv) von der Zeit. Τοὺς Καρδούχους ἔφασαν οἰκεῖν ἀνὰ τὰ ὄρη. Ξε. ἀν. 3, 5, 16. Ἀνὰ πᾶσαν γῆν καὶ θάλατταν εἰρήνη ἔσται. Ξε. π. πό. 5, 10. Οἱ παῖδες τοὺς πρεσβυτέρους ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας. Ξε. Κυ. 1, 2, 8.)

A. 2. Häufiger findet es sich bei Zahlen distributiv: ἀνὰ πέντε je fünf. Ἐπορεύθησαν ἀνὰ πέντε παρασάγγας τῆς ἡμέρας. Ξε. ἀν. 4, 6, 4.

A. 3. Vereinzelte Redensarten sind ἀνὰ στόμα im Munde, ἀνὰ κράτος in Eil, ἀνὰ λόγον nach Verhältniß. Ἀργὸς οὐδεὶς θεοὺς ἔχων ἀνὰ στόμα βίον δύναιτ' ἂν συλλέγειν ἄνευ πόνου. Εὐ. Ἠλ. 80. Προφαίνεται ἐλαύνων ἀνὰ κράτος ἱδροῦντι τῷ ἵππῳ. Ξε. ἀν. 1, 8, 1. Λέγεται τοὺς λίθους ἔχειν ἀνὰ τὸν αὐτὸν λόγον τὴν λειότητα. Πλ. Φαίδ. 110.

[A. 4. Epiker und Lyriker verbinden ἀνά auch mit dem Da.]

21. *Εἰς* und *ἐς* (dies fast durchgängig bei Thuk. [zu 1, 1, 2]; sonst ist *εἰς* vorherrschend, auch bei den Dramatikern vgl. Elmsley zu Soph. Oid. T. p. XII) in, hinein, dem *ἐξ* entgegengesetzt, regiert den Ac. [Reg. z. Th. u. *ἐς*.]

A. 1. So steht es in eig. und uneig. Bedeutung, z. Th. auch unserm an entsprechend. Ueber εἰς διδασκάλου ꝛc. § 43, 3, 6 u. Dial. Sy. eb. A. 5. Ὅρκους ἐγὼ γυναικὸς εἰς ὕδωρ γράφω. Σο. ἀποσ. 694. Ἡ γλῶσσα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν. Μέ. μο. 205. — Ἀπέβησαν ἐς τὴν γῆν. Θ. 1, 100, 2. Πάντ' ἐκκαλύπτων ὁ χρόνος εἰς τὸ φῶς ἄγει. Σο. ἀποσ. 657.

A. 2. Mit Verben der Bewegung verbunden entspricht εἰς bei Namen von Orten und Ländern, wie bei den für diese gebrauchten

Völkernamen (17 A. 2 vgl. 12 A. 3) unserm nach, ins Land der [zu Xe. An. 4, 7, 2]; unserm unter oft bei persönlichen Pluralen oder Collectiven; zuweilen nur kräftiger als ἐπί. Ueber εἴς, selten ἔν, bei den Verben des Versammelns m. Anm. zu Thuk. 2, 99, 1; über παρεῖναι εἴς zu Xe. An. 1, 2, 2. Σωκράτης πρῷ ἐς τοὺς περιπάτους καὶ τὰ γυμνάσια ᾔει. Ξε. ἀπ. 1, 1, 10. Σικελοὶ ἐξ Ἰταλίας διέβησαν ἐς Σικελίαν. Θ. 6, 2, 4. Ἐκ τούτων (τῶν Φασιανῶν) ἐπορεύθησαν εἰς Ταόχους. Ξε. ἀν. 4, 7, 1. — Οἱ τριάκοντα πολλοὺς τῶν πολιτῶν εἰς τοὺς πολεμίους ἐξήλασαν. Λυ. 12, 21. Ἐς ὄχλον ἕρπειν παρθένοισιν οὐ καλόν. Εὐ. Ὀρ. 108. — Ἐτολμήσατε σὺν τῷ πατρίῳ φρονήματι ἰέναι εἰς αὐτούς. Ξε. ἀν. 3, 2, 16. [z. Th. 4, 95, 2.

A. 3. Scheinbar steht εἴς für πρός, weil man bei Ortsnamen oft auch deren Umgebungen mit befaßt (12 A. 1 vgl. z. Th. 1, 12, 2 u. 6, 105, 1); selbst bei Personennamen in sofern sie für einen localen Begriff eintreten, z. B. δικασταί für δικαστήριον. (Vgl. Sintenis zu Plut. Per. exc. 4 und Spitzner zur Il. exc. 35.) Πάρις ἤγαγ' Ἑλλάδ' εἰς Ἴλιον. Εὐ. Ὀρ. 1365. — Οὔτ' εἰς Δελφοὺς οὐδ' εἰς Ἄμμων' ἐλθόντες ἐκεῖ θύσομεν. Ἀρ. ὄρ. 619. Βαδίζουσιν εἰς ἀλλήλους. Ἀρ. ἐκ. 675. Εἰς ὑμᾶς εἰσελθὼν ἐλπίζω τῶν δικαίων τεύξεσθαι. Λυ. 3, 2.

A. 4. Brachylogisch steht εἴς die einer Handlung folgende Bewegung mit umfassend. Ueber παραγγέλλειν εἰς τὰ ὅπλα § 62, 3, 2. Regelmäßig ist eig. (κατ)έστην εἰς — trat in —, gerieth, gelangte zu —. [zu Xe. An. 1, 1, 3 lat. A.] Vgl. § 36, 9, 5. Ueber ἀφίστασθαι εἴς zu Xe. An. 1, 6, 7. Ἀνίστατο εἰς οἴκημά τι ὡς λουσόμενος. Πλ. Φαίδ. 116. Τὴν πόλιν ἐξέλιπον οἱ ἐνοικοῦντες εἰς χωρίον ὀχυρὸν ἐπὶ τὰ ὄρη. Ξε. ἀν. 1, 2, 24 und d. A. Θησεὺς κατέλυσε τῶν ἄλλων πόλεων τά τε βουλευτήρια καὶ τὰς ἀρχὰς ἐς τὴν νῦν πόλιν. Θ. 2, 15, 2. Τὸν ζῶντα εἰς τοὺς πολεμίους ἁλόντα ἄρ' οὐ δωρεὰν διδόναι δεῖ τοῖς ἐθέλουσι χρῆσθαι τῇ ἄγρᾳ ὅ, τι ἂν βούλωνται; Πλ. πολ. 468. [zu Arr. An. 1, 25, 4 lat. A.] — Στὰς εἰς τὸ μέσον συνεκάλεσε τοὺς ἑαυτοῦ στρατιώτας. Ξε. Κυ. 4, 1, 1. Πολλάκις εἰς πολλὴν ἀθυμίαν κατέστην. Λυ. 12, 3. [Mancherlei andre Beispiele in den Reg. zu Kr.s Ausgaben u. ἔς, εἴς.]

A. 5. Ein Ziel bezeichnend entspricht εἴς unserm bis zu, auf. So steht es auch bei τελευτᾶν. Ἀπὸ σοῦ δεῖ ἄρχεσθαι, τελευτᾶν δ' εἰς Εὐθύδημον. Πλ. Εὐθύδ. 301. — Ὅπου ἂν εἰς ἀκόντιον ἀφικνῆται, ἀκοντίζει· ὅπου δ' ἂν εἰς δόρατος πληγήν, παίει. Ξε. ἱπ. 8, 10. Πολλὰ δεῖ μοχθεῖν τὸν ἥξοντ' εἰς ἔπαινον εὐκλεῶς. Θεοδέκτης Στ. 29, 35. — Βλέπων πεπαίδευμ' εἰς τὰ τῶν πολλῶν κακά. Μέ. μο. 651. Οὐ χρὴ ἀπὸ τῶν ἰδίων κτημάτων ὀκνεῖν δαπανᾶν εἰς τὸ κοινὸν ἀγαθόν. Ξε. Ἱέρ. 11, 1. Ὁ ἄσωτός ἐστιν ὁ ἀναλίσκων εἰς ἃ μὴ δεῖ. Ἀρλ. ἠθ. μεγ. 1, 23. — Παιδεύομεν ἀνθρώπους εἰς ἀρετήν. Πλ. Γο. 519.

A. 6. Von Personen so gebraucht heißt εἴς unter (mit Einmischung der Bedeutung A. 2), auf, gegen; vor bei Begriffen des Sprechens und des Rufes. [Reg. z. Th. u. ἔς.] Τὸν κάκιστον πλοῦτος εἰς πρώτους ἄγει. Εὐ. Ἀλκμή. 8. — Ἀπέβλεψεν εἰς Αὐτόλυκον, ἐπισκοπῶν τί ἐκείνῳ δόξειεν. Ξε. συ. 1, 12. Μὴ βούλεσθε εἰς ὑμᾶς τὴν αἰτίαν περιτρέψαι. Λυ. 6, 13. — Ἔα μ' ἁμαρτεῖν· οὐ γὰρ ἔς σ' ἁμαρτάνω. Εὐ. Ἱπ. 323. Ὁ νομοθέτης ἔγραψε μηδ' εἰς τοὺς δούλους ὑβρίζειν. Αἰ. 1, 17. Προςφιλεῖς ὄντες διὰ τὴν ἐς τὸν Μῆδον προθυμίαν αὐτοῖς ἐτύγχανον. Θ. 1, 92. Οὐ σοφὸς, ἀληθὴς δ' ἐς φίλους ἔφυν φίλος. Εὐ. Ὀρ. 424. [z. Th. 1, 128, 3.] — Ἃ εἶπον εἰς ἅπαντας οὐκ ἀρνήσομαι. Εὐ. Ἑκ. 303. Ἐκμαρτυρεῖν ἄνδρα τὰς αὑτοῦ τύχας εἰς πάντας ἀμαθές, τὸ δ' ἐπικρύπτεσθαι σοφόν. Εὐ. Οἰδ. 14. Πάνυ ἐλλόγιμος γέγονεν εἰς τοὺς Ἕλληνας Ἀριστείδης. Πλ. Γο. 526.

A. 7. An den Begriff des Zieles schließt sich der des Zweckes: zu, zum Behuf, für. Ἡ ἡμέρα ἀεί τι καινὸν εἰς τὸ φροντίζειν φέρει. Ποσείδ. 18. Ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί. Μέ. μο. 46. — Ἡ σπάνις πρόχειρος εἰς τὸ δρᾶν κακά. Στ. 96, 7. Τί δὴ εἰς πόλεμον κτη-

μα χρησιμώτερον ἀνθρώπων; Ξε. π. πό. 4, 42. Μέγιστον ἀγαθὸν τὸ πειθαρχεῖν φαίνεται εἰς τὸ καταπράττειν τὰ ἀγαθά. Ξε. Κυ. 8, 1, 3.

A. 8. Verwandt ist der Begriff des Betreffens: in Ansehung. Daher auch εἰς δύναμιν neben κατὰ δ. nach Vermögen. [zu Xe. An. 2, 3, 23.] Ζηλωτὸς ὅστις εὐτύχησεν ἐς τέκνα. Εὐ. Ὀρ. 542. Φεῦ, τοῖσι γενναίοισιν ὡς ἁπανταχοῦ πρέπει χαρακτὴρ χρηστὸς εἰς εὐψυχίαν. Εὐ. Δα. 5. Δεῖ κεχαρισμένως πράττειν τὸ πᾶν εἰς δύναμιν. Πλ. Φαῖδρ. 273. Οἱ κακοὶ πάντες εἰς πάντα ἄκοντές εἰσι κακοί. Πλ. νό. 860.

A. 9. Bei Zahlen heißt εἰς theils gegen, an, theils steht es distributiv: zu, besonders in militairischen Ausdrücken, wie εἰς δύο zwei Mann hoch oder tief (neben oder hinter einander vgl. zu Xe. An. 2, 4, 26. 7, 1, 23). Ξυνεβοήθησαν ἐς εἴκοσι μάλιστα ἱππέας. Θ. 7, 30, 3. — Τῆς φάλαγγος ἔφασαν εἰς τρεῖς τὴν ἐνωμοτίαν ἄγειν· τοῦτο δὲ συμβαίνειν αὐτοῖς οὐ πλέον ἢ εἰς δώδεκα τὸ βάθος. Ξε. Ἑλ. 6, 4, 12.

A. 10. Bei Zeitangaben bezeichnet εἰς theils eine Richtung, auf Bevorstehendes bezogen: auf, an [zu Xe. An. 1, 7, 1]; theils ein Erstrecken: auf — hin, für. Ἥκετε εἰς τὴν τριακοστὴν ἡμέραν. Ξε. Κυ. 5, 3, 6. — Ὠιήθη δεῖν τῆς ἀρετῆς τῆς αὑτοῦ μνημεῖον εἰς ἅπαντα χρόνον καταλιπεῖν. Ἰσ. 11, 10.

